Helmut Engelmann

DER GRIECHISCHE ALEXANDERROMAN Γ

BUCH II

HELMUT ENGELMANN DER GRIECHISCHE ALEXANDERROMAN

BEITRÄGE ZUR KLASSISCHEN PHILOLOGIE
Herausgegeben von Reinhold Merkelbach
Heft 12

DER GRIECHISCHE ALEXANDERROMAN

REZENSION Γ

Buch II

herausgegeben

von

HELMUT ENGELMANN

1963

VERLAG ANTON HAIN · MEISENHEIM AM GLAN

D 29

Herstellung: Verlag Anton Hain KG, Meisenheim am Glan
Printed in Germany

Die Handschriften

Dieses Buch setzt die Edition der Rezension γ des Alexanderromans fort, welche von U. v. Lauenstein begonnen wurde. Es wird ein kritischer Text von Buch II gegeben; die Seitenzählung schliesst an die von Lauenstein an.

Von der Rezension γ sind drei Handschriften bekannt; eine ausführliche Beschreibung findet sich bei U. v. Lauenstein im Vorwort.[1)]

In R (Bodleianus Barocc. 20) umfasst Buch II fol. 50 - 118; fol. 1o7/8 ist von zweiter Hand beschrieben. Marginalien oder kalligraphische Ausschmückungen fehlen.[2)]

In D (Venetus des Instituto Ellenico) umfasst Buch II 105 Seiten. D ist ein kostbarer Codex mit bemerkenswert schöner Schrift und einer grossen Zahl von Miniaturen.[3)] Den Bildern ist ein Begleittext beigefügt;[4)] daneben findet sich jeweils eine türkische Transscription.

Durch Blattausfall fehlen in D folgende Partien: Anfang von Buch II - p. 152, 10; p. 154, 16 - p. 17o, 4; p. 198, 24 - p. 202, 16; p. 326, 13 - Ende von Buch II.

In C (Paris. gr. suppl. 113) umfasst Buch II fol. 65 - 149. Vor jedes Kapitel ist eine Inhaltsangabe[5)] gestellt, abgesetzt durch die stereotype Einleitungsformel ἔνθα und durch andre Tinte hervorgehoben. Dazu treten zahlreiche Marginalien von zweiter Hand.

---

1) U. v. Lauenstein, Der Griechische Alexanderroman, Rezension γ, BuchI, Meisenheim am Glan 1962; nützlich war mir auch das Vorwort zur Edition der Rezension ε durch J. Trumpf, das mir im Manuskript vorlag.

2) Die einzige Ausnahme ist ein unbeholfenes Marginalmännchen auf fol. 101.

3) Einige Abbildungen sollen reproduziert werden bei v. Thiel, Leben und Taten Alexanders von Makedonien; fünf Bilder gibt es als Alinari-Photographien (Nr. 20757 - 61).

4) Die Begleittexte habe ich nicht ediert.

5) In der Edition werden diese Inhaltsangaben nicht berücksichtigt.

Die Rezension γ des Alexanderromans ist aus der Rezension β und ε kontaminiert. Absicht des Kontaminators war es, aus zwei bekannten Fassungen eine neue wirksame "Historey" herzustellen[1]. Hiezu soll auch die Einfügung der langen Erzählung des Palladius über die Brahmanen dienen (cap. 35A, p. 248,13 - p. 296,19)[2].

Der Alexanderroman war Unterhaltungslektüre. Der Text ist bei dieser Literaturart naturgemäss nicht genau festgelegt; d.h. aber, dass sich der originale Text der Rezension γ nicht mehr herstellen lässt.

Bei einer Untersuchung der codd. zeigt sich, dass die gelehrten Schreiber von CD bestrebt sind, ihre Vorlage zu glätten, durch Erweiterungen zu verdeutlichen und offenkundige Fehler durch Coniecturen zu verbessern. Dagegen bringt R sämtliche Fehler, Lücken und unklare, verderbt vorgefundene Stellen. Coniecturen oder eigene Erweiterungen scheinen in R zu fehlen.
Ferner lässt sich für CD ein Nachvergleich von γ mit der Rezension β feststellen. In C geht dieser Prozess so weit, dass Teile aus ε durch Stücke aus β verdrängt und neue Kapitel aus β eingefügt werden.[3] C stellt so fast eine eigene kleine Rezension für sich dar. Demgemäss sind für die Konstituierung des Textes besonders R und D heranzuziehen.


Die Abhängigkeitsverhältnisse der Rezension γ und ihrer Hss. lassen sich etwa in folgendem Stemma veranschaulichen:

---

1) Eine Analyse der aus ε übernommenen Stellen zeigt, dass gerade Stücke mit grossem Pathos oder fabulösem Inhalt bevorzugt werden.

2) Die Palladiuserzählung war im Mittelalter beliebt; aus dem ursprünglich kynischen Pamphlet(vgl. den Papyrus Genav. inv. 271, ed. V. Martin und P. Photiades, Museum Helveticum 16, 1959, 77f.; weiter F. Pfister, Hermes 76, 1941) war ein christliches Erbauungsbuch geworden.

3) Cap. 32 und 38 werden aus β hinzugefügt, cap. 39 und 41 wesentlich erweitert.



Man sieht, dass die cod. Q B L, gelegentlich A, und Palladius subsidiär zur Konstituierung des Textes heranzuziehen sind. Die Angaben über diese Hss. wurden entnommen:

1. für B (Paris. 1685) einem Mikrofilm, den Leif Bergson zur Verfügung gestellt hat,
2. für L (Leidensis Vulc. 93) der Ausgabe von Meusel(1871),
3. für A (Paris. 1711) der Ausgabe von Kroll(1926),
4. für Q einem Mikrofilm; daneben lag mir bis cap. 20 die Ausgabe von Trumpf im Manuscript vor,
5. für Palladius der Ausgabe von J.D.M. Derret(Classica et Mediaevalia 21, 1960, 113 - 135). Die Haupthss. sind
   Palladii Q, Paris. Bibl. Nat. Coislinianus 83 und
   Palladii Z, Londin. Mus. Brit. Arundel 546. In dem aus Palladius stammenden Teil(cap. 35A) wurde Derrets Paragrapheneinteilung übernommen.

Die Edition vermeidet eine klassizistische Glättung des Textes[1]; der Text soll so zu uns sprechen, wie ihn die mittelalterliche Welt in naiver Begeisterung las[2].

Kritische Zeichen:

[ ] Ergänzung von Lücken, die durch mechanische Beschädigung der Hss. entstanden.

⌞ ⌟ Lücke durch mechanische Beschädigung einer Hs., die aus den anderen Hss. ergänzt werden kann.

.... fehlende Buchstaben.

{ } Athetese.

⟨ ⟩ Ergänzungen.

( ) in den Text geratene Glossen.

Ausgaben:

A Wilhelm Kroll, Historia Alexandri Magni, recensio vetusta, Berlin 1926.

B Carl Müller, Pseudo - Callisthenes, Paris 1846.

L Heinrich Meusel, Pseudo - Callisthenes L, Jahrb. für Class. Phil. und Pädag., Suppl. V, Leipzig 1871.

---

1) Laut- und Formenlehre des cod. A bei K. Wyss, Untersuchungen zur Sprache des Alexanderromans von Pseudo - Kallisthenes, Diss. Bern 1942.

2) Über die grosse Bedeutung des Alexanderromans im Mittelalter vgl. die verschiedenen Arbeiten von Fr. Pfister, vor allem "Alexander der Grosse in den Offenbarungen der Griechen, Juden, Mohammedaner und Christen", Berlin, Akademie - Verlag 1956.

SIGLA

γ : R cod.Bodleianus Barocc.2o

D cod.Venetus

C cod.Paris.gr.suppl.113

β : B cod.Paris.gr.1685

L cod.Leidensis Vulc.93

ε : Q cod.Bodleianus Barocc.17

α : A cod.Paris.gr.1711

Palladii codices:

Pall.Q cod.Paris.Bibl.Nat.Coislin 83,ff.326-342

Pall.Z cod.Mus.Brit.Arundel 546,ff.265v-28ov.

Δαρεῖος δὲ συνήθροιζε τοὺς ἡγεμόνας πρὸς πόλεμον καὶ συνεβουλεύετο, τί δέον αὐτοῖς ἐστιν πρᾶξαι. ἔλεγε δὲ Δαρεῖος· " ὡς ὁρῶ κατὰ προσθήκην ὁ πόλεμος εἰς δύναμιν ἐπιβαίνει. κἀγὼ μὲν 'Αλέξανδρον λῃστρικὰ φρονεῖν ὑπενόουν, αὐτὸς δὲ βασιλικὰ ἔργα ἐπιχειρεῖ. καὶ καθὼς ἡμεῖς μεγάλοι δοκοῦμεν εἶναι Πέρσαι, μείζων 'Αλέξανδρος τυγχάνει τῇ πολλῇ φρονήσει· ἡμᾶς δὲ πέμψαι αὐτὸν σκῦτον καὶ σφαῖραν ἐπὶ τὸ παίζειν καὶ παιδεύεσθαι· ὥστε σκεψώμεθα τὰ συμφέροντα εἰς ἐπανόρθωσιν τῶν πραγμάτων, μὴ ἐξουθενοῦντες ὡς μηδὲν εἶναι τὸν 'Αλέξανδρον καὶ ἐπαιρόμενοι τῇ τηλικαύτῃ τῶν Περσῶν βασιλείᾳ καθ' ὅλης τῆς γῆς καταληφθῶμεν. καὶ δέδοικα μὴ τοῦ ἐλάττονος ταπεινότερον εὑρεθῇ, † τοῦ καιροῦ καὶ ἡ τῆς προνοίας μεταβολὴ τοῦ διαδήματος παραχωρήσης †. καὶ νῦν συμφέρον ἡμῖν ἐστιν ⟨ ⟩, ἵνα τῶν ἰδίων βαρβάρων ἄρχωμεν καὶ μὴ ζητοῦντες 'Ελλάδα λυτρώσασθαι ἀπολέσωμεν καὶ τὴν Περσίαν." 'Οξυδέλκυς δὲ ὁ ἀδελφὸς Δαρείου λέγει πρὸς αὐτόν· "ἤδη μέγαν ποιεῖς τὸν 'Αλέξανδρον καὶ θάρσος αὐτῷ παρέχεις ἐπιβῆναι τῇ Περσίδι, παραχωρήσας αὐτῷ τὴν 'Ελλάδα; μίμησαι οὖν καὶ αὐτὸς τὸν 'Αλέξανδρον καὶ οὕτως κατακρατήσεις τὴν βασιλείαν. ἐκεῖνος γὰρ οὔτε στρατηγοῖς οὔτε σατράπαις κατεπιστεύσατο τὸν πόλεμον ὥσπερ σύ, ἀλλὰ πρῶτος ὁρμῶν εἰς τοὺς πολέμους καὶ προασπίζων τὸ στρατόπεδον αὐτοῦ· καὶ μαχόμενος ἀποτίθεται τὴν βασιλείαν, νικήσας δὲ ἀναλαμβάνει τὸ βασίλειον." ὁ δὲ Δαρεῖος αὐτῷ εἶπεν· " τί οὖν αὐτον μιμήσομαι; "καὶ εἶ-

(1) cod.D deest usque ad p.154/ ἡγεμόνας Περσῶν CBL (2) ἐστὶν αὐτῷ διαπράξασθαι C (5) καθὼς οὖν CBL (6) post Πέρσαι add. 'Αλεξάνδρου καὶ 'Ελλήνων, οὕτως 'Αλέξανδρος μείζων ἡμῶν τῇ πολλῇ φρενὶ τυγχάνει C (L) (7) ἡμεῖς δὲ ἐπέμψαμεν αὐτῷ CBL (8) post παιδεύεσθαι add. αὐτὸς τελείως παιδευθεὶς ἐπ' ἐμὲ τὸν καθηγητὴν ἔσται τὰ ὅπλα νικήσών A (9) συμφέροντα ἐν ἡμῖν C (10) μηδένα ὄντα CB (12) μὴ τὸ μεῖζον τοῦ ἐλάττονος ταπεινότερον εὑρεθῇ A (13) ἡ om. AB/ μεταβολὴν A (14) παραχωρούσης BL/ συμφέρον ἐστιν ἡμῖν C (15) post ἐστιν add. παραχωρῆσαι τὴν 'Ελλάδα A (16) τὴν 'Ελλάδα CB/ ἀπολέσωμεν CBL, ἀπο$^{\delta\omega}_{\lambda\epsilon}$σομεν R(ἀπολεδόσομεν) (17) Περσίδα CBL/ 'Οξυδέλκυς RL, 'Οξυδέρκης CB, 'Οξυάθρης A (19) παρεχώρησας C (20) 'Αλέξανδρον κατὰ πάντα C (21) τῆς βασιλείας CBL (22) ἐπίστασθαι κατεπιστεύσατο C, ἐπίστασθαι ἐπίστευσε BL (24) τῶν στρατοπέδων CBL (25) ἀναλαμβάνει τὸ διάδημα τὸ βασίλειον B (26) εἶπεν αὐτῷ· τί οὖν ἡμεῖς αὐτὸν μιμησόμεθα; CB

πεν αὐτῷ ἕτερος στρατηγός· " πάντων περιγενόμενος ὁ 'Αλέξανδρος καὶ μηδὲν ὑπερτιθέμενος,ἀλλὰ πάντα γενναίως ποιῶν κατὰ τὴν γενναίαν αὐτοῦ τόλμαν,τέλος τὸ τῆς νίκης διάδημα περιτίθεται.ὥστε οὖν καὶ σύ,βασιλεῦ,μίμησαι τοῦτον· ἔστιν γὰρ ὑπὸ τὴν χεῖρα σοῦ ἔθνη πάμπολλα,Πέρσαι καὶ Πάρθοι καὶ Μῆδοι καὶ 'Ελυμεναῖοι οἱ καὶ Βαβυλώνιοι καὶ τῶν κατὰ τὴν Μεσοποταμίαν καὶ 'Ιβήρων χώραν καὶ μέσων Ταβακτῶν καὶ Ταηρῶν τὸ ὄνομα σοῦ ἐστιν·στράτευσον οὖν ἐξ αὐτῶν ἄπειρα πλήθη,εἰ δυνατόν ἐστίν σοι καὶ τοὺς θεοὺς ἔχειν εἰς συμμαχίαν καὶ ἡττῆσαι τοὺς Ἕλληνας·μέντοιγε τῷ πλήθει τῶν ὅπλων θαμβήσομεν τοὺς πολεμίους ἡμῶν." ἀκούσας δὲ ταῦτα Δαρεῖος εἶπεν· " καλῶς συνεβούλευσας·μία γὰρ ἐνθύμησις 'Ελλήνων κατανικᾷ τοὺς ὄχλους τῶν βαρβάρων,ὥσπερ καὶ εἷς λύκος βαρὺς ἀγέλην ποιμνίων ἀποδιώκει."· καὶ οὕτως εἰπὼν Δαρεῖος κελεύει συναθροίζεσθαι τὰ πλήθη.

8

ὁ δὲ 'Αλέξανδρος διοδεύσας διὰ τῆς Κιλικίας ἦλθεν ἐπὶ τὸν ποταμὸν τὸν λεγόμενον 'Ωκεανόν·καταρροῦν δὲ τὸ ὕδωρ ἦν· καὶ ἰδὼν 'Αλέξανδρος ἐπεθύμησε λούσασθαι ἐν τῷ ποταμῷ καὶ ἀποδυσάμενος ἐνήλλατο ἐν αὐτῷ.ψυχροῦ δὲ ὄντος σφόδρα τοῦ ὕδατος οὐκ ἐγένετο αὐτῷ σωτήριον·ψυχρανθεὶς γὰρ ἤλγησε τὴν κεφαλὴν αὐτοῦ καὶ τὰ ἐντὸς ἅπαντα,ὃς καὶ νοσηλευόμενος ἔκειτο χαλεπῶς.τούτου δὲ κατακειμένου καὶ δεινοπαθοῦντος οὐκ εἶχον οἱ τῶν Μακεδόνων παῖδες ὅλως παραμυθίαν τινά ἀλλὰ καὶ αὐτοὶ ἔπασχον,ἐδυσφόρουν,κραταιῶς ἐπλήττοντο τὰς

(1) στρατηγὸς αὐτοῦ C/ ὁ om. CBL (2) μηδενὸς C (3) τόλμαν πάντα καθορθοῖ καὶ C (4) post περιτίθεται add. καθὼς καὶ ἡ μορφὴ αὐτοῦ ἐστι κατὰ τὸ θράσος αὐτοῦ, πάντα γὰρ τὰ ἤθη λέοντος ἔχει. ὁ δὲ Δαρεῖος εἶπεν αὐτῷ· πόθεν σὺ οἶδας τοῦτον ταῦτα ἔχοντα; ὁ δὲ εἶπεν· ὅταν ἐπέμφθην ὑπὸ σοῦ, βασιλεῦ, εἰς Φίλιππον πρὸς φιλίαν, ἔβλεπον τοὺς φόβους(sic etiam L, χαρακτῆρας B) 'Αλεξάνδρου ἐν Μακεδονίᾳ καὶ τὴν μορφὴν αὐτοῦ καὶ τὴν φρόνησιν καὶ τὸν χαρακτῆρα C, simillima post 3 τόλμαν praebent BL (5) πολλά C (6) οἱ om. C (7) 'Ιβήρων R, 'Ινδῶν C/ Ταβακτρῶν C (8) post ἐστιν add. καὶ ἄλλων, ὧν σὺ δεσπόζεις· πολλῶν γὰρ ἐθνῶν κύριος εἶ C (9) σοί ἐστιν C (10) ἡττῆσαι ἔχεις C/ μέντοιγε: reincipit D/ πλήθει τῶν ὄχλων καὶ τῶν ὅπλων C (11) post ἡμῶν add. καὶ οὕτως ἡττήσομεν κατὰ κράτος αὐτοὺς C (12) ὁ βασιλεὺς Δαρεῖος C/ εἶπεν αὐτῷ D/ καλῶς RCBL, οὐ καλῶς D coniectura optima sensum restituens / συνεβούλευσάς μοι, ὦ ἄνθρωπε, ἀλλὰ γὰρ μία ἐνθύμησις C (13) ὥσπερ γὰρ C (14) λύκος RCDL, κύων B/ ἀγέλην λαγωῶν ἢ ποιμνίων ἐκδιώκει C (15) πάντα τὰ πλήθη C, τὰ πλήθη τῶν αὐτοῦ στρατευμάτων D

(16) R omittit hanc narrationem hoc loco, praebent eam CDBLA. R similem narrationem in expeditione Aegyptiaca (II 25) praebet.

ὁδεύσας CL/ ἐπὶ τὸν ἐν αὐτῇ ποταμὸν omisso τὸν λεγόμενον 'Ωκεανὸν C (17) ἦν τὸ ὕδωρ C (18) 'Αλέξανδρος ὁ βασιλεὺς C/ ἐν τῷ ποταμῷ DBL, ἐν αὐτῷ C (19) ἐνήλλατο(sic codd.) ἐν αὐτῷ DL, εἰς αὐτὸν C (20) ψυχρανθεὶς γὰρ D, καὶ CB (21) κεφαλὴν καὶ πάντα τὰ ἐντὸς αὐτοῦ καὶ χαλεπῶς ἔκειτο. οἱ δὲ Μακεδόνες ἰδόντες κατακείμενον τὸν 'Αλέξανδρον αὐτοὶ ἐνόσουν καὶ ἐδεινοπάθουν τὰς ψυχὰς ἐπ' αὐτῷ, μήπως C(BL)

ψυχὰς ἑαυτῶν φοβηθέντες,μήπως ἐπιγνοὺς Δαρεῖος τὴν νόσον τοῦ 'Αλεξάνδρου ἐπέλθῃ αὐτοῖς.οὕτως οὖν μία ψυχὴ 'Αλεξάνδρου τὰς τοσαύτας ψυχὰς τῶν στρατοπέδων ἔθραυσε.

καὶ ἤδη τις Φίλιππος ὀνόματι ἰατρὸς τυγχάνων ἐνετείλατο τῷ 'Αλεξάνδρῳ δοῦναι αὐτῷ καταπότιον καὶ ἀπαλλάξαι τοῦτον τῆς νόσου.ὁ δὲ 'Αλέξανδρος ὑπήκοος ἐγένετο τοῦ δέξασθαι αὐτὸ.ἔνθεντοι καὶ τούτου γε τοῦ ἰατροῦ ἑτοιμάζοντος τὸ φάρμακον ἐπιστολὴ ἐξαίφνης ἐδόθη τῷ 'Αλεξάνδρῳ ἐκπεμφθεῖσα δολείως ὑπὸ Παρμενίου τινός,στρατηγοῦ τυγχάνοντος 'Αλεξάνδρου,ὡς" ὁ Δαρεῖος εἶπε πρὸς Φίλιππον τὸν ἰατρόν, ἵνα σχὼν εὐκαιρίας ἀνελεῖν σε φαρμάκῳ,ἐπαγγειλάμενος δοῦναι αὐτῷ τὴν ἰδίαν ἀδελφὴν Δαδηφάρταν πρὸς γάμον καὶ κοινωνὸν αὐτῷ ποιῆσαι τῆς αὐτοῦ βασιλείας συνέθετο Φίλιππος μεθ' ὑποσχέσεως τοῦτο ποιεῖν.φύλασσε σεαυτόν,βασιλεῦ,ἀπὸ Φιλίππου." ὁ δὲ 'Αλέξανδρος ἀναγνοὺς τὴν ἐπιστολὴν ταύτην οὐκ ἐταράχθη,ᾔδει γὰρ τὴν γνώμην Φιλίππου,οἵα ἦν πρὸς αὐτόν.ἔθετο οὖν τὴν ἐπιστολὴν πρὸς τῇ κεφαλῇ αὐτοῦ·προσελθὼν δὲ Φίλιππος ὁ ἰατρὸς ἐπέδωκεν 'Αλεξάνδρω τῷ βασιλεῖ πιεῖν τὸ καταπότιον τοῦ φαρμάκου,εἰπών·" πίε, δέσποτα βασιλεῦ,καὶ ἀπαλλαγήσῃ τῆς νόσου." λαβὼν δὲ 'Αλέξανδρος εἶπεν·" ἰδοὺ πίνω",καὶ εὐθέως ἔπιε·καὶ μετὰ τὸ πιεῖν τότε ἀπέδωκεν αὐτῷ τήν ἐπιστολήν.ὁ δὲ Φίλιππος ἀναγνοὺς καθ' ἑαυτὸν τὰ γεγραμμένα εἶπεν· "'Αλέξανδρε βασιλεῦ,οὐχ ὅμοιόν με εὑρήσεις τοῖς γεγραμμένοις,μὴ τὴν ἄνω πρόνοιαν,οὐδ' ἀληθῆ εἰσι τὰ γράμματα Παρμενίου."ἀνασωθεὶς δὲ 'Αλέξανδρος ἀπὸ τῆς νόσου περιεπλάκη τῷ Φιλίππῳ καὶ εἶπεν αὐτῶ· "ἔμαθες ὁποίαν γνώμην ἔχω πρὸς σὲ φιλίας·

(1) τὴν νόσον 'Αλεξάνδρου ἐπέλθῃ ἐπ' αὐτοὺς.οὕτως γὰρ C (3) τὰς om. CB/ τοῦ στρατευμάτου C (4) καὶ δὴ CB (5) τῷ om.C/ ἐπιδοῦναι C/ τοῦτον D, αὐτὸν CBL (6) πρόθυμος ἐγένετο δέξασθαι αὐτό.καὶ ὁ Φίλιππος ηὐτρέπιζε τὸ φάρμακον.ἐπιστολὴ δὲ ἐδόθη C (8) πεμφθεῖσα C (9) δολείως om. CBL/ τυγχάνοντος DBL, ὑπάρχοντος C (1o) 'Αλεξάνδρου τοῦ βασιλέως CBL/ ὡς ὅτι Δαρεῖος εἶπε Φιλίππῳ τῷ ἰατρῷ C (11) σχὼν DL, δῶ C, σκέπῃ B/ εὐκαιρίαν CB/ φαρμάκῳ ἀνελεῖν σε C (12) Δαδηφάρταν πρὸς γάμον C,om. D spatio relicto / κοινωνὸν ποιῆσαι αὐτὸν τῆς βασιλείας αὐτοῦ καὶ ὑπέσχετο ποιῆσαι Φίλιππος τοῦτο C(BL) (13) post βασιλείας lacuna unius fere vocis in D (14) φύλασσε οὖν CBL (15) τὴν ἐπιστολὴν Παρμενίου ἀναγνοὺς C (16) γνώμην C, ...ην D (17) ἔθετο C, ..ετο D/ πρὸς τῇ DB, πρὸς τὴν L, ἐπὶ τὴν C (19) πιεῖν τὴν κύλικα τοῦ φαρμάκου C (2o) post βασιλεῦ perg.C καὶ μηδὲν εὐλαβηθῇς·ἀνέκθητον εἴη τὸ φάρμακον καὶ ἀπαλλάσσῃ τῆς νόσου C (22) ἐπέδωκεν τῷ Φιλίππῳ C (23) τὰ γεγραμμένα DL, τὴν ἐπιστολὴν C (24) εὑρήση D, εὑρήσεις ἐν C/ μή: debuit μά/ μὴ - 25 Παρμενίου om.CBL (27) ποῖαν CBL/ ante φιλίας add. Φίλιππε CBL

πρότερον γὰρ τὴν ἐπιστολὴν εἴληφα τοῦ φαρμάκου καὶ τότε εἴληφα τὸ φάρμακον καὶ ἔπιον αὐτό,ἐμαυτὸν ἐμπιστεύσας τῷ ὀνόματι σοῦ·οἶδα γὰρ ὅτιπερ Φίλιππος κατὰ 'Αλεξάνδρου οὐδὲν χαλεπὸν ἐβουλεύσατο." ὁ δὲ Φίλιππος εἶπεν· "δέσποτα βασιλεῦ,νῦν κόλαζε τὸν πέμψαντά σε τὴν ἐπιστολὴν Παρμένιον ἀξίως·αὐτὸς γὰρ πολλάκις με πεῖσαι ἐζήτησε φαρμάκῳ σε θανατῶσαι,ἐφ' οἷς λάβοιμι τὴν ἀδελφὴν Δαρείου τὴν Δαδιφάρταν πρὸς γάμον,ἐμοῦ δὲ μὴ κατανεύσαντος πρᾶξαι τὸ τοιοῦτον [**ἀθέμ**]**ιτον** καὶ παράνομον ἔργον ἴδε δι' ᾧ χαλεπῷ με προ..... παρά σοι θανάτῳ." καὶ ταῦτα ἐξετάσας 'Αλέξανδρος καὶ εὑρὼν τὸν Φίλιππον ἀναίτιον,τὸν Παρμένιον κολάσας ἔθετο ἐν τῇ φυλακῇ.

9

ὁ δὲ 'Αλέξανδρος ἀναλαβὼν τὰ στρατεύματα αὐτοῦ παραγίνεται εἰς τὴν τῶν Μήδων χώραν.ἀπείγετο δὲ καταλαβεῖν τὴν μεγάλην 'Αρμενίαν·καὶ ταύτην δουλωσάμενος διὰ τῆς 'Αριανῆς παραγίνεται εἰς τὸν Εὐφράτην ποταμόν·καὶ τοῦτον γεφυρώσας ψαλίσι καὶ σιδηραῖς κνήμεσιν ἐκέλευσε τὰ στρατόπεδα περᾶσαι.ὡς δὲ εἶδεν αὐτοὺς δειλιῶντας,κελεύει τὰ κτήνη καὶ τὰ κάρνα καὶ τὰς τροφὰς πάντων διαπερᾶσαι καὶ τότε τὰ στρατόπεδα.οἱ δὲ δειλίως εἶχον ὁρῶντες τὴν ἐπίρροιαν τοῦ ποταμοῦ,μήπως λυθῶσιν αἱ ψαλίδες.μὴ τολμώντων δὲ αὐτῶν περᾶσαι,λαβὼν μεθ' ἑαυτοῦ 'Αλέξανδρος τοὺς ὑπασπιστὰς πρῶτος διέβη·διῆλθεν οὖν ἡ παράταξις αὐτοῦ πᾶσα καὶ εὐθέως ἐκέλευσεν τὰ ζεύγματα διαλυθῆναι τοῦ Εὐφράτου.ὁ δὲ στρατὸς ἅπας ἐδυσχέραινεν ἐπὶ τούτῳ λέγον-

(1) καὶ τότε ἔπιον τὸ φάρμακον πιστεύσας τοῖς λόγοις σου καὶ ἐμαυτὸν ἐνδώσας τῷ ὀνόματι σοῦ C (3) ᾔδειν γὰρ ὅτι CBL (5) πέμψαντά σοι CBL/ Παρμένιον CBL, Παρμε..... D (6) με πολλάκις C/ φαρμάκῳ ἀναιρῆσαι σε CB (7) Δαρείου Δαδηφάρταν C (8) καὶ ἀρνησαμένου μου εἰς τέλος ἰδοὺ χαλεπῷ με θανάτῳ ἐνέθετο παρά σοι C(BL) (9)[ἀθέμ] ιτον restitui, ...ιτον D (1o) possis προὔβαλε vel προὔθετο (11) ἀναίτιον τὸν Φίλιππον CBL/ τὸν Παρμένιον διαδέχεται C omisso 12 κολάσας - φυλακῇ

(13)cap.9in R post cap.7sequitur /ἐκεῖθεν οὖν παραλαβὼν τὰ στρατόπεδα αὐτοῦ ὁ Ἀλέξανδρος DBL, κἀκεῖθεν ἀναλαβὼν τὰ στρατεύματα αὐτοῦ διαταξάμενος C (14) ἀπ (ἐπ- CBL) είγετο R,malim ἠπείγετο, ἔσπευδε D/ καταλαβεῖν καὶ D (15) ὡς ἐνβραχὺ δουλωσάμενος D/ post δουλωσάμενος add.ὥδευσε ἱκανὰς ἡμέρας εἰς (om. CDB) ἀνύδρους τόπους καὶ φαρραγγώδεις καὶ διὰ CDBL (17) κνήμεσιν RC, κνημῖσιν D, κνήμαις BL (18) στρατόπεδα αὐτοῦ D (19) πάντων R, αὐτῶν C,πρῶτον D, πάντων πρῶτον BL/ διαπεράσαι πρότερον C (2o) τότε RCBL, μετὰ ταῦτα D/ στρατόπεδα περᾶσαι C/ δειλίως εἶχον RD, δειλιῶντες σφόδρα καὶ C/ ὁρῶν R (23) ὑπασπιστὰς αὐτοῦ C/ πρῶτος γε πάντων D/ διέβη RDBL, διεπέρασε C/ διῆλθεν οὖν παρευθὺς καὶ πᾶσα ἡ D, καὶ τότε τὰ στρατόπεδα καὶ ἡ παράταξις αὐτοῦ πᾶσα διῆλθε C (24) διαλυθῆναι τὰ ζεύγματα τῆς γεφυρᾶς (om.D) τοῦ Εὐφράτου CD (25) ἐδυσχέραινον D/ ἐπὶ τούτῳ καὶ ἐπὶ (om.CBL) πλεῖον ἐδειλίων λέγοντες CDBL

τες·" 'Αλέξανδρε βασιλεῦ,εἰ γένοιτο ἡμᾶς πολεμοῦντας ὑπὸ τῶν βαρβάρων ἀνατραπῆναι,πῶς ἔχωμεν τὴν σωτηρίαν εὑρεῖν τοῦ διαπεράσαι;" ὁ δὲ 'Αλέξανδρος ἰδὼν τὴν δειλίαν αὐτῶν καὶ ἀκούσας τὸν εἰς αὐτοὺς γενόμενον θρῦλλον,συνάξας ἄπαντα τὰ στρατεύματα ἀπεφήνατο αὐτοῖς οὕτως·" ἄνδρες συνστρατιῶται,καλὰς ἐλπίδας δίδοτε τῆς νίκης·ὅτι δὲ ἔχετε γνώμην ἡττημένοι ἀποστραφῆναι, διὰ τοῦτο ἐκέλευσα ἐκκοπῆναι τὴν γεφύραν,ἵνα πολεμοῦντες νικήσητε καὶ ἡττηθέντες μὴ φύγητε· οὐ γάρ ἐστιν ὁ πόλεμος φευγόντων ἀλλὰ διωκόντων.ὁμοῦ γὰρ τὴν ἐπάνοδον εἰς Μακεδονίαν ποιήσαντες νικηφόροι ὑποστρέψομεν·ἡ γὰρ συμβολὴ τοῦ πολέμου παίγνιον ἡμῖν ἐστιν."

καὶ οὕτως ἀποφηναμένου τοῦ 'Αλεξάνδρου τιμὰς ἐδίδου τοῖς ἑαυτοῦ στρατεύμασιν καὶ εὐθύμως τῷ πολέμῳ ἐπέβαινον καὶ σκηνοποιησάμενοι ἐκαθέζοντο.

ὁμοίως δὲ καὶ τὸ τοῦ Δαρείου στρατόπεδον ἐκαθέζοντο ἐπάνω τοῦ Τίγριδος ποταμοῦ.συνέβαλλον δὲ ἀλλήλοις εἰς πόλεμον καὶ ἀμφότερα τὰ στρατεύματα γενναίως ἐπολέμουν πρὸς ἀλλήλοις.καί τις τῶν Περσῶν ὄπισθεν 'Αλεξάνδρου ἐλθών,ἀναλαβὼν Μακεδόνων ὅπλον καὶ ὡς σύμμαχος Μακεδόνων γενάμενος κατήνεγκε κατὰ τῆς κεφαλῆς 'Αλεξάνδρου καὶ ἔθραυσεν τὴν κορυφὴν αὐτοῦ.εὐθέως δὲ συλληφθεὶς ὑπὸ τῶν στρατοπέδων 'Αλεξάνδρου παρίσταται αὐτῷ δέσμιος.ὁ δὲ 'Αλέξανδρος νομίσας αὐτὸν Μακεδόνα εἶναι λέγει αὐτῷ·" ὦ γενναῖε,τί σοι ἔδοξεν τοῦτο ποιῆσαι;" ὁ δὲ εἶπεν αὐτῷ·" μὴ πλανήσῃ σε τὰ Μακεδονικὰ ὅπλα μου·ἐγὼ Πέρσης εἰμί,Δαρείου σατράπης· καὶ προσελθὼν Δαρείῳ εἶπον αὐτῷ·ἐάν σοι κομίσω τὴν κεφαλὴν 'Αλεξάνδρου,τί μοι χαρίζῃ;αὐτὸς δὲ ἐπηγγείλατό μο

(2) διατραπῆναι ὑπὸ τῶν βαρβάρων DC/ ἔχοιμεν D/ σωτηρίαν ἡμῶν CBL (4) περισυνάξας D (5) στρατεύματα αὐτοῦ C/ συσστρατιῶται CDBL (6) οὐ καλὰς D/ καλάς μοι CB/δίδοτε ἡμῖν D/ ὅτι δὲ ἔχετε γνώμην R, εἰ (om. CBL) τοῦτο ἔχοντες (ἔχετε B) κατὰ γνώμην CDBL (7) ὑποστραφῆναι CD/ διὰ τοῦτο οὖν CDBL (8) ἵνα RCBL, ὡς ἂν D/ ἵνα ὑμεῖς πολεμοῦντες θαρσέως C (1o) ὑποστραφῶμεν D (11) ἡμῖν ἐστι τοῖς Μακεδόσι D/post ἡμῖν ἐστι add. C μὴ γὰρ οὐκ εἰμι κἀγὼ εἷς ἐξ ὑμῶν; οὐ πρῶτος ἐν πολέμοις ἐπιβαίνω; μὴ γὰρ ἐγὼ οὐκ ἐπιθυμῶ θεάσασθαι τὴν ἐμὴν ποθεινοτάτην μητέρα 'Ολυμπιάδα; τῷ ὀνόματι γὰρ καὶ τῷ ἀξιώματι διαφέρω ὑμῖν,τοῖς δ' ἄλλοις πᾶσιν ὅμοιος ὑμῶν τυγχάνω. (12) καὶ om. C (13) στρατεύμασιν αὐτοῦ D/ εὐθύμως RDL, εὐθέως CB/ πολέμῳ προθύμως C (14) σκηνοποιούμενοι CDBL (15) τοῦ om. CDBL/ ἐκαθέζετο CDBL (16) Τίγριος C/ post ποταμοῦ lacuna unius folii in D (17) τάγματα CL/ ἀλλήλους CBL (19) Μακεδονικὸν ὅπλον CBL/ γενόμενος CB (2o) αὐτοῦ τὴν κορυφὴν C (24) 'Αλέξανδρε βασιλεῦ,μὴ πλανήσῃ C(BL) (25) μου ὅπλα C/ ἐγὼ γὰρ CBL

χώραν βασιλέως καὶ τὴν θυγατέραν αὐτοῦ πρὸς γάμον. ἐγὼ οὖν παραγενόμενος ⸤πρός σε⸥ ἀνέλαβον σχῆμα Μακεδόνων μὴ ἐπιτυχών." ἀκούσας δὲ ταῦτα 'Αλέξανδρος μεταπεμψάμενος ὅλον τὸ στρατόπεδον αὐτοῦ, θεωρούντων πάντων, τοῦτον ἀπέλυσεν. εἶπε δὲ πρὸς τὸν ἴδιον στρατόν· "ἄνδρες Μακεδόνες, τοιούτως ἔδει τοὺς στρατιώτας εἶναι τολμηροὺς πρὸς πόλεμον."

10

ἕτερος δὲ σατράπης Δαρείου προσελθὼν τῷ 'Αλεξάνδρῳ εἶπεν· "ἐγὼ σατράπης Δαρείου εἰμὶ καὶ μεγάλα αὐτῷ κατώρθωσα στρατεύματα ἐν πολέμοις καὶ οὐκ ηὐχαριστήθην παρ' αὐτοῦ· δός μοι οὖν μυρίους ἐνόπλους στρατιώτας καὶ δίδωμί σοι τὸν ἐμαυτοῦ βασιλέα Δαρεῖον." εἶπε δὲ αὐτῷ 'Αλέξανδρος· "πορεύου καὶ βοήθει τῷ σεαυτοῦ βασιλεῖ Δαρείῳ· οὐ γὰρ πιστεύσω σοι τοὺς ἀλλοτρίους τῷ τοὺς ἰδίους προδιδόντι."

ἔγραψαν οὖν οἱ ἐπ' ἐκείνων τῶν τόπων σατράπαι τῷ Δαρείῳ περὶ 'Αλεξάνδρου οὕτως·

Δαρείῳ μεγάλῳ βασιλεῖ χαίρειν· καὶ πρότερον ἐν σπουδῇ φανεράν σοι ἐποιήσαμεν τὴν 'Αλεξάνδρου ἐπίβασιν τὴν γεναμένην τῷ ἔθνει ἡμῶν· καὶ νῦν σοι πάλιν φανερὰν ποιοῦμεν πεφθακέναι αὐτὸν καὶ πολιορκεῖν τὴν χώραν ἡμῶν· καὶ ἀνεῖλεν ἐξ ἡμῶν πλείστους Πέρσας· καὶ ἡμεῖς δὲ αὐτοὶ κινδυνεύομεν τοῦ ἀπολέσθαι. τάχυνον οὖν μετὰ δυνάμεως πολλῆς τοῦ προφθάσαι αὐτὸν καὶ μὴ συγχωρῆσαι αὐτῷ ἐπελθεῖν σοι· δυναμικὸν γὰρ καὶ πλεῖστόν ἐστιν τὸ Μακεδονικὸν στράτευμα καὶ κατισχύει ἡμῶν. ἔρρωσο.

(1) χώραν βασιλείας CBL (2) σχῆμα Μακεδονικόν, ἵνα μὴ ἀποτύχω· τανῦν δὲ μὴ ἐπιτυχὼν τοῦ σκοποῦ ἵσταμαι δέσμιος ἐνώπιόν σου C (5) ἄνδρες Μακεδόνες, εἴδατε τόλμαν γενναίου στρατιώτου· τοιούτους ἔδει τοὺς στρατιώτας εἶναι πρὸς πόλεμον τολμηρούς. λειφθέντες δὲ οἱ βάρβαροι τῇ ἐνδείᾳ τῶν σιτίων συστροφὴν ἐποιοῦντο εἰς τὴν Βακτριανὴν χώραν. ὁ δὲ 'Αλέξανδρος ἐπιμείνας ἐκεῖσε κατεκράτησεν ὅλον τὸν τόπον C(BL) (6) εἶναι om.R (7) τῷ om.CBL (8) κἀγὼ C/ Δαρείου βασιλέως C/ κατώρθωσας R/ στρατεύματα R, πράγματα CBL (9) ἐνόπλους μυρίους C (12) πιστεύω CB (14) ἐπ' ἐκείνῳ τῷ τόπῳ CB/ ἔγραψαν: reincipit D / εὑρισκόμενοι σατράπαι πρὸς Δαρεῖον D/ σατράπαι Δαρείου καὶ ἀπέστειλαν αὐτῷ περιέχουσαν οὕτως C (15) οὑτωσί D (16) πρότερον μὲν DB (18) πάλιν RCBL, αὖθις D (19) ὡς πεφθακέναι CD/ τὴν χώραν καὶ τὰς πόλεις ἡμῶν, ὃς καὶ ἀνεῖλεν D (20) ἐξ ἡμῶ R/ ἡμεῖς οὖν D (21) τάχυνον ἄρα, ὦ δέσποτα D (22) συγχωρήσῃς C/ αὐτῷ RCBL, τοῦτον D

λαβὼν οὖν Δαρεῖος καὶ ἀναγνοὺς τὰ γράμματα αὐτῶν πέμπει ἐπιστολὴν πρὸς Ἀλέξανδρον περιέχουσαν οὕτως· μαρτυροῦμαί σοι,ἐφ'οἷς μοι εἰργάσω·τὴν μητέρα μου εἰς θεοὺς πορεύεσθαι ἡγοῦμαι,γυναῖκα μὴ ἐσχηκέναι μου,τὰ δὲ τέκνα μου μὴ γεγεννῆσθαι·ἐγὼ δὲ οὐ παύσομαι τὴν ὕβριν μου ἐπιζητῶν.ἐγράφη γάρ μοί,ὅτι δικαίως καὶ εὐσεβῶς πρὸς τοὺς ἐμοὺς διετέθης·εἰ ἄρα δικαίως ἐποίεις τὰ πρὸς ἐμέ,δίκαια ἐφύλαξας·ἔξεστι δέ σοι τῶν ἐμῶν μὴ φείδεσθαι,ἀλλὰ καμούχει καὶ αὐτὰς τιμωρίαις,πολεμίων γὰρ τέκνα τυγχάνουσιν. οὔτε γὰρ εὐεργετῶν αὐτὰς ἕξεις με φίλον οὔτε κακοποιῶν αὐτὰς ἐχθρόν.

δεξάμενος δὲ Ἀλέξανδρος καὶ ἀναγνοὺς τὰ γράμματα Δαρείου ἐμειδίασεν καὶ ἀντέγραψεν αὐτῷ ταῦτα·

Ἀλέξανδρος βασιλεὺς Δαρείῳ χαίρειν·τὰς κενάς σου ἀπονοίας καὶ φλυάρους καὶ ματαίας **ὁμιλίας** οἱ θεοὶ ἐμίσησαν μέχρι τέλους.καὶ οὐ παύῃ βλασφημῶν καὶ κακὰ ὑπονοῶν·οὔτε φοβούμενός σε **τετίμηκα** τούς ποτε σοὺς,οὔτε ἐλπίζω ἐλθεῖν εἰς διαλλαγὴν πρός σε,ἵνα παραγενόμενος εὐχαριστήσῃς ἡμῖν. μὴ παραγίνου οὖν πρὸς ἡμᾶς·οὐ γὰρ ἄξιόν ἐστι τὸ ἐμὸν διάδημα τοῦ σοῦ διαδήματος·οὐ μὴν κωλύσεις τὴν πρὸς ἅπαντάς μου εὐσέβειαν,ἀλλὰ καὶ περισσοτέραν πρὸς τούς ποτε σοὺς ἐνδείξομαι ἀγαθὴν γνώμην·ἔσχατον οὖν σοι ἐπιστολὴν γράφω μᾶλλον ἢ γνησίως ἔχειν πρός σε.

11

καὶ ταῦτα γράψας Δαρείῳ Ἀλέξανδρος ἕτοιμος γέγονεν πρὸς πόλεμον καὶ ἔγραφε·

(1) λαβὼν δὲ DB (2) 'Αλεξάνδρῳ CDB (3) ante μαρτυροῦμαι add. Δαρεῖος βασιλεὺς 'Αλεξάνδρῳ C/ epistula decurtata (4) γυναῖκα δὲ CDBL/ ἐσχηκέναι με C, ἐσχηκέναι D (6) ἐγράφη RCBL, ἀκήκοα D/ μοι om. D/ εὐσεβῶς διετέθης DB (7) καὶ εἰ ἄρα D (8) φυλάξας C/ ἀλλὰ om. DBL/ κακούχει δὲ (om.C) αὐτὰς CD (9) καὶ melius abesset| τυγχάνουσιν RCBL, ὑπάρχουσιν D (10) αὐτὰς RCBL, ταύτας D · (14) Δαρείῳ τῷ τῶν Περσῶν βασιλεῖ D (16) post τέλους in D lacuna unius folii / βλασφημιῶν C/ οὐ γὰρ φοβούμενος CBL (17) ἐλπίζων CBL (20) οὐ μὴν δὲ C/ τὴν πρὸς BL, τοὺς πρὸς R, τὴν πρὸς ἅπαντάς μου ἀρετὴν καὶ εὐσέβειαν C (22) ἐσχάτην CBL/ γράφω, μόνον γνησίως ἔχω πρός σε C (24) Δαρείῳ τῷ βασιλεῖ C/ γίνεται πρὸς πόλεμον αὐτῷ καὶ παρευθὺς 'Αλέξανδρος ἔγραφε πᾶσι τοῖς σατράπαις αὐτοῦ καὶ πᾶσι τοῖς ὑποτεταγμένοις αὐτῷ οὕτως· βασιλεὺς 'Αλέξανδρος σατράπαις πᾶσι τοῖς ὑποτεταγμένοις μοι Φρυγίας C

πᾶσι τοῖς σατράπαις καὶ πᾶσι τοῖς ὑποτεταγμένοις αὐτῷ Φρυγίας, Καππαδοκίας, Παμφλαγονίας, Ἀραβίας καὶ πᾶσι τοῖς ἑτέροις χαίρειν· βούλομαι ὑμᾶς χιτῶνας κατασκευάσαι πλήθους πολλοῦ καὶ στεῖλαι ἡμῖν ἐν Ἀντιοχίᾳ τῆς Συρίας· τὰς δὲ ὁπλοθήκας, ἃς κατεσκευάσατε, ἀποστεῖλαι ἡμῖν· ἀποστείλατε· διατεταγμέναι γάρ εἰσι κάμηλοι τρισχίλιοι ἀπὸ τοῦ Εὐφράτου ποταμοῦ μέχρις Ἀντιοχίας τῆς ἐν Συρίᾳ πρὸ τὸ διακονεῖν καθὼς προετάξαμεν, ἵνα ἀκαθυστέρητον τὴν ὑπουργίαν εὕρωμεν. ἐν σπουδῇ οὖν παραγίνεσθε πρὸς ἡμᾶς.

Ἔγραψαν δὲ καὶ οἱ σατράπαι Δαρείου οὕτως Δαρείῳ μεγάλῳ βασιλεῖ· εὐλαβῶς ἔχομεν τοιαῦτα γράφειν σοι ἀναγκαζόμεθα δὲ ὑπὸ τῶν πραγμάτων· γίνωσκε δέ, ὅτι ὁ ἡγούμενος Μακεδόνων Ἀλέξανδρος δύο ἡμῶν τῶν μεγιστάνων πεφόνευκε καὶ ἕτεροί τινες τῶν μεγιστάνων διέβησαν πρὸς Ἀλέξανδρον σὺν ταῖς παλλακέσιν.

γνοὺς δὲ Δαρεῖος ταῦτα γράφει τοῖς ἔγγιστα στρατηγοῖς καὶ τοῖς σατράπαις αὐτοῦ γενέσθαι ἑτοίμως καὶ παρεμβολὴν τιθέναι. ἔγραψε δὲ καὶ ἐπιστολὴν πρὸς Πῶρον, βασιλέα τῶν Ἰνδῶν, περιέχουσαν οὕτως·

(2) Παφλαγονίας καὶ C (3) βούλομαι - 7 ἐν Συρίᾳ ex C sumpsi. R haec tantum praebet βούλομαι ἡμᾶς χιτῶνας

δε ὅπλο

ἀποστείλατε ὑμῖν μοῦ

μέχρι 'Αν Συρίαν (5) ἀποστείλατε : explicatio vocis ἀποστεῖλαι

(8) προσετάξαμεν CBL (9) ἐν σπουδῇ οὖν καὶ διὰ πόλεμον Δαρείου παραγίνεσθε πρὸς ἡμᾶς. οἱ δὲ σατράπαι 'Αλεξάνδρου ἐποίησαν ὡς προσέταξεν αὐτοῖς C

(1o) post Δαρείου add. τῷ ἑαυτῶν βασιλεῖ C

(11) βασιλεῖ χαίρειν CB (12) γίνωσκε, βασιλεῦ, ὅτι CBL (13) τῶν Μακεδόνων C/ πεφόνευκε - 14 μεγιστάνων om. R (14) διέβησαν πρὸς αὐτὸν C

(15) παλλακαῖς C (16) γνοὺς δὲ ταῦτα Δαρεῖος γράφει τοῖς ἔγγιστα αὐτοῦ στρατηγοῖς καὶ σατράπαις γενέσθαι ἑτοίμους C (18) a voce ἔγραψε - p. 168 recensionem ε sequitur γ. e recensione β hanc Darei epistulam ad reges ac satrapas interponit C ἔγραψε δὲ ὁμοίως καὶ τοῖς ἔγγιστα βασιλεῦσιν οὕτως· Δαρεῖος βασιλεὺς βασιλέων τοῖς ἐμοὶ πεφιλημένοις βασιλεῦσιν χαίρειν· ὡς μελλόντων ἡμῶν ἱδρώτων ἀπομάξασθαι καὶ ἀγωνίσασθαι μέλλομεν πρὸς ταλαίπωρόν τι ἔθνος Μακεδονικὸν πολεμεῖν. προσέταξα δὲ καὶ τὸ Περσικὸν στράτευμα ἑτοίμους εἶναι καὶ παρευθὺς γράφω ἐπιστολὴν καὶ τῷ βασιλεῖ τῶν 'Ινδῶν Πώρῳ βοηθείας τυχεῖν παρ' αὐτοῦ. καὶ ὁ Δαρεῖος εὐθὺς γράφει πρὸς Πῶρον βασιλέα 'Ινδῶν ἐπιστολὴν περιέχουσαν οὕτως.

τῷ ἐν θεοῖς θεῷ μεγάλῳ βασιλεῖ Πώρῳ χαίρειν Δαρεῖος ὁ δυστυχής·τὰ περὶ τῶν ἡμετέρων δυστυχημάτων καὶ γράφειν ἀδύνατον·οἶμαι δὲ σὲ τὸν ἐμὸν δεσπότην ἀκηκοέναι τῶν πολλῶν ὀλίγα,ὡς παῖς εἰς ἡμᾶς Μακεδόνων ἐπιβὰς λῃστρικῶς καταναγκάζει μετανάστας τῶν οἰκείων γενέσθαι,τὴν δουλικὴν ἠθετηκὼς τύχην·δεσποτικῶς ἡμᾶς σπουδάζει διατεθῆναι καὶ τὴν τῆς ἑῴας ἀρχὴν ταῖς δυσμαῖς παραπέμψαι.τοῦτον Πέρσαι δεδιότες οὐκ οἶδ' ὅπως ἀντιστῆναι τῇ μάχῃ οὐ δύνανται·ἐπὶ τοῦτο δέομαι τῆς σῆς μεγαλειότητος μὴ ἀνέχεσθαι ταῦτα,ἀλλὰχεῖρα βοηθείας ἐξαποστείλας Δαρείῳ τῷ δούλῳ σου·ἔτι δὲ καὶ τοῦτο ἅπαξ ὑπεξέλθοιμι τοῖς Μακεδόσιν εἰς πόλεμον,ἵνα γνῶσιν κατὰ θεῶν μὴ ὁπλίζεσθαι.ἐπίσταμαι γὰρ ἀκαταμάχητον εἶναι τὸ τῶν Ἰνδῶν στῖφος·ἐπικάμφθητι δή μου τοῖς γράμμασιν καὶ τὴν ἐκ ψυχῆς αἴτησιν πλήρωσον καὶ τοὺς κατεπείγοντάς με Μακεδόνας ἀμύνασθαι θέλησον. σπλαχνίσθητι ἐπὶ τοῖς ἐμοῖς δυστυχήμασιν.ἔρρωσο.

12

δεξάμενος δὲ Πῶρος τὴν ἐπιστολὴν Δαρείου καὶ ἀναγνούς, τὴν κεφαλὴν κατασείσας ἔφη·" καὶ ὁ τύχῃ ποτὲ μὲν ἶσα θεοῖς Δαρεῖος νῦν ὑπὸ Μακεδόνων ἐλαύνεται." προσκαλεσάμενος δὲ τοὺς ὑπ' αὐτὸν στρατηγοὺς καὶ τοπάρχας φησί· "λαβόντες μεθ' ἑαυτοὺς πεντήκοντα χιλιάδας ἀνδρῶν ἱππέων ἄπιτε τῷ Δαρείῳ εἰς συμμαχίαν·ἐπὰν δὲ 'Αλέξανδρον καταλάβητε ἐγκραταὶ Μακεδόνων γενόμενοι,τοῦτον πρὸς μὲ ζῶντα ἀγάγετε,ὅπως ἴδωμι αὐτόν.ἔφεσις γάρ μοί ἐστιν τοιοῦτον θεάσασθαι παῖδα."

γράφει δὲ καὶ ἐπιστολὴν πρὸς Δαρεῖον περιέχουσαν οὕτως·

(1) ὁ δυστυχὴς χαίρειν C (4) ὡς παῖς Μακεδονικὸς ἐπιβὰς C (5) μετανάστας : miraberis vocem homericam / καὶ μετανάστας C (6) ἠθετηκὼς : conditionem antea servilem abolevit / δεσποτικῶς : exspectes δουλικῶς/ διάγει καὶ σπουδάζει C (7) παραπέμψασθαι C (8) post δύνανται add. δυσὶ γὰρ ἡττήμεθα πολέμοις παρὰ μηδενὸς βοηθούμενοι Q

(1o) ἐξαποστεῖλαι τῷ σῷ δούλῳ C/ ἅπαξ ὑπεξελθεῖν με Q

(12) τὰ κατὰ θεῶν C (14) δὴ om. C

(17) Πῶρος ὁ βασιλεὺς τὰ γράμματα Δαρείου καὶ ἀναγνοὺς τὰς συμφορὰς τὰς γενομένας αὐτῷ ἐλυπήθη καὶ τὴν κεφαλὴν κατασείσας βύθιόν τι καὶ περιπαθὲς ἐστέναξε καὶ δακρύων ὀχετοὺς ἐξ ὀφθαλμῶν κατέχεεν ὡς προσδοκῶν καὶ αὐτὸς τοιαῦτα ὑποστῆναι φῇ C

(18) καὶ ὁ τῇ τύχῃ C, ὦ τύχη Q (21) μεθ' ἑαυτῶν CQ

(22) 'Αλέξανδρος καταλάβηται C/ ἐγκραταὶ : i.e. ἐν κράτει

(23) ζῶντα πρὸς μὲ CQ (24) ἴδω C

(26) a voce γράφει recensionem β sequitur γ.

Πῶρος βασιλεὺς Ἰνδῶν βασιλεῖ Περσῶν Δαρείῳ χαίρειν· ἀναγνοὺς τὰ γεγραμμένα ἡμῖν ὑπὸ σοῦ ἐλυπήθην σφόδρα καὶ ἀπορῶ θέλων σοι συντυχεῖν καὶ βουλεύσασθαι περὶ τῶν συμφερόντων· κωλύομαι δὲ ὑπὸ τῆς συνεχούσης με σωματικῆς νόσου· εὐθύμως οὖν δίαγε, ὡς ἡμῶν συμπαρόντων σοι καὶ μὴ δυναμένων στέργειν τὴν ὕβριν ταύτην. πρὸς ὃ βούλει γράφον ἡμῖν· εἰ μή σοι οὐκ ἀρκοῦσιν αἱ παρακείμεναι δυνάμεις, καὶ τὰ πορρωτέρω δὲ ὄντα ὑπακούσονταί μου ἔθνη.

μαθοῦσα δὲ ταῦτα ἡ μήτηρ Δαρείου διεπέμψατο Δαρείῳ κρυφίως, γράψασα αὐτῷ οὕτως·

Δαρείῳ τῷ ἐμῷ τέκνῳ χαίρειν· ἀκούω σε συναθροίζοντα ἔθνη, βουλόμενος ἕτερον πόλεμον συνάψαι πρὸς Ἀλέξανδρον· μὴ οὖν ταράξῃς, τέκνον, τὴν οἰκουμένην· τὸ γὰρ μέλλον ἄδηλόν ἐστιν· ἔασον οὖν ἐλπίδας ἐπὶ τὸ κρεῖσσον καὶ μὴ ἐν ἀποτομῇ χρησάμενος ἀμφιβαλὼν τοῦ ζῆν στερηθῇς. ἡμεῖς γάρ ἐσμεν ἐν μεγίστῃ τιμῇ παρὰ Ἀλεξάνδρου βασιλέως καὶ οὐχ ὡς πολεμίου μητέρα ἔσχε με ἀλλ' ἐν μεγάλῃ δορυφορίᾳ, ὅθεν ἐλπίζω εἰς συνθήκας καλὰς ἐλεύσεσθαι.

ἀναγνοὺς δὲ Δαρεῖος ἐδάκρυσεν ἀναμνησκόμενος τῆς ἑαυτοῦ συγγενείας· ἅμα δὲ ἐταράσσετο ἔνευε πρὸς πόλεμον.

13

ὁ δὲ Ἀλέξανδρος ἔχων δύναμιν πολλὴν παραγίνεται ἐν τῇ Περσικῶν χώρᾳ· τὰ οὖν τείχη τῆς πόλεως ὑψηλὰ τυγχάνοντα τοῖς Μακεδόσι διάδηλα ἐγένοντο. ἐπινοεῖ οὖν τί ὁ φρενήρης Ἀλέξανδρος; τὰ ἐκεῖ νεμόμενα ποίμνια τῶν νομῶν ἀποσπάσας καὶ

(2) ἀναγνοὺς δὲ τὰ γράμματα, ἃ ἤλθουσαν(= ἦλθοσαν) ἡμῖν ὑπὸ σοῦ C(lectio incerta) (3) θέλων οὖν C (4) νόσου: reincipit D (6) στέργειν R, στέγειν DCBL/ πλὴν ὃ οὖν βούλῃ C, ἐντεῦθεν καὶ ὃ ἂν βούλῃ καὶ αὖθις D (7) εἰ μὴ γὰρ οὐκ(om.D) ἀρκοῦσιν σοι CD/ αὗται δυνάμεις D (8) post ἔθνη add. ἔρρωσο C (9) ταῦτα μ------- ἀποστείλασα -----ς Δαρεί ----- ν αὐτῇ ------- αὐτῷ οὑτωσί D/ κρυφίως CB, κρ.φως R, κρύφα L/ κρυφίως Δαρείῳ C (11) Δαρείῳ βασιλεῖ C/post τέκνῳ lacuna unius rere vocis inC / ἄπειρα ἔθνη D (12) καὶ βουλόμενον CBL/ ἐτέρον πόλεμον RCBL, καὶ αὖθις πόλεμον D (13) τέκνον RCB, υἱέ μου D (15) ἀμφιβαλὼν RDBL, ἀμφιβόλως C, ἐναμφιβόλως A, ἀναμφιβόλως R (16) παρὰ 'Αλεξάνδρῳ βασιλεῖ CDBL/ ἴσθι οὖν τέκνον μου φίλτατον ὅτιπερ οὐχ ὡς πολεμίου μητέρα ἔσχε με ἀλλ' ἐν δαψιλεστάτῃ καὶ πλουσιοπαρόχῳ δορυφορίᾳ D (17) καὶ εἰς C/ εἰς καλὰς συνθήκας D (19) ἀναγνοὺς δὲ τὰ γράμματα C/ Δαρεῖος ταῦτα τὰ γράμματα τῆς μητρὸς αὐτοῦ D (20) ἐταράσσετο καὶ ἔνευε C/ ἐταράσσετο ὁ τοιοῦτος καὶ ἀναβρασσόμενος ὑπὸ τῆς πολλῆς λύπης ἔνευε πρὸς πόλεμον D (21) Περσικῇ CDBL (22) πόλεως ἐκείνης ὑψηλὰ καὶ μετέωρα D (23) τί οὖν ἐπινοεῖ C (24) τῶν ἐκεῖ (καὶ γὰρ τῶν ἐκεῖσε D) νεμομένων ποιμνίων τὰς νομὰς ἀποσπάσας RCDBL, τὰ ἐκεῖ νεμόμενα ποίμνια τῶν νομῶν ἀποσπάσας Mueller

ἐκ τῶν δένδρων κλάδους ἀποκόψας ἐπέδησεν ὀπίσω αὐτῶν καὶ ὄπισθεν τῶν στρατοπέδων ἐβάδιζον τὰ ποίμνια.συρόμενοι δὲ ἐπὶ τῆς γῆς οἱ κλάδοι ἀπώθουσαν τὴν κόνιν,ἣν ἐσάλευον·καὶ ἀνήρχετο ὁ κονιορτὸς ἕως 'Ολύμπου,ὥστε τοὺς Πέρσας ἀπὸ τῶν τειχέων ὁρῶντας ὑπονοεῖν·πλῆθος ἄμετρόν ἐστιν τὸ στρατόπεδον 'Αλεξάνδρου.ἑσπέρας δὲ γενομένης ἐκέλευσε δεθῆναι εἰς τὰ κέρατα τῶν ποιμνίων δᾳδας καὶ κηρία καὶ ταῦτα ἀναφθῆναι καίειν·ἦσαν γὰρ πεδινοὶ οἱ τόποι καὶ ἦν θεωρούμενον ὅλον τὸ πεδίον ὡς πῦρ καιόμενον·καὶ ἐδειλίασαν οἱ Πέρσαι.

ἦλθον οὖν πλησίον τῆς πόλεως Περσίδος ὡς ἀπὸ σημείων ἡμερῶν τριῶν καὶ ἐζήτει 'Αλέξανδρός τινα πέμψαι πρὸς Δαρεῖον μηνύοντα αὐτῷ,πότε τὴν συμβουλὴν τοῦ πολέμου ποιῆσαι.κοιμᾶται οὖν 'Αλέξανδρος ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ ὁρᾷ καθ' ὕπνους τὸν Ἄμμωνα ἐν σχήματι 'Ερμοῦ αὐτῷ παρεστῶτα, ἔχοντα κηρύκιον καὶ χλαμύδα καὶ ῥάβδον καὶ Μακεδονικὸν πάλλιον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ,λέγοντα αὐτῷ· "τέκνον 'Αλέξανδρε,ὅτε καιρός ἐστι βοηθείας,συμπάρειμί σοι·γίνωσκε οὖν,ἐὰν πέμψῃς ἄγγελον πρὸς Δαρεῖον,προδώσει σε.σὺ οὖν ἑαυτοῦ ἄγγελος γενοῦ καὶ πορεύου ἀναλαβεῖν καὶ τὸ σχῆμα, ὅπερ ἔχειν ὁρᾷς με." ὁ δὲ 'Αλέξανδρος εἶπεν αὐτῷ· "ἐπικίνδυνόν μοι βασιλέα ὄντα δι' ἑαυτοῦ ἄγγελον γενέσθαι, ἀλλὰ θεὸν βοηθὸν τυγχάνοντα οὐδὲν βλαβερὸν ἐπακολουθήσει." λαβὼν οὖν τὸν χρησμὸν τοῦτον 'Αλέξανδρος ἀνίσταται χαίρων καὶ οὐδενὶ διηγήσατο τὸ ὄνειρον ἀλλ' ἢ μόνον εἶπεν ἄγγελον αὐτὸν πρὸς Δαρεῖον ἀπελθεῖν.οἱ οὖν ⸤σατράπαι⸥ ἐκώλυον αὐτὸν τοῦτο μὴ ποιῆσαι.

(1) τοὺς κλάδους C/ ἐκ τῶν κλάδων τῶν δένδρων ἀποκόψας D (3) ἀπώθουν C (7) δᾴδας ἡμμένας C (8) ἀναφθῆναι καὶ καίειν CBL/ ἦσαν γὰρ οἱ ἐκεῖσε τόποι πεδινοὶ D (9) ὡς πυρὶ CDBL/ καὶ τοῦτο ἰδόντες οἱ Πέρσαι ἐδειλίασαν οὐ μετρίως D (11) ἀπὸ σημείων· cr. Kroll (12) τριῶν RD, πέντε CBL/ πέμψαι τινὰ D (13) συμβολὴν CD melius / ποιῆσαι R, ποιήσουσι CDL, ποιήσονται B (15) αὐτῷ om.C (17) καὶ λέγοντα D, καὶ λέγει C (19) ὅτιπερ ἐὰν D (20) πορεύου εἰς αὐτὸν D / ἀναλαβὼν τὸ σχῆμα CBL (21) ἐπικίνδυνόν μοί ἐστιν CD (22) δι' ἑαυτοῦ RBL, ἐμαυτοῦ D, δι' ἑαυτοῦ vel ἐμαυτοῦ C (lectio incerta) (23) ἀλλ' εἴπερ θεὸν βοηθόν μοι ἔχοντα D, ὁ δὲ εἶπεν αὐτῷ· ἀλλὰ θεοῦ βοηθοῦ τυγχάνοντος C/ βλαβερὸν οὐδ' ἐπικίνδυνον D/ ἐπακολουθήσει σοι.λαβὼν δὲ τοῦτον τὸν χρησμὸν CB (25) ὄνειρον R, ὅραμα D/ καὶ μεταδίδωσι τοῖς σατράπαις αὐτοῦ καὶ οὐδενὶ διηγήσατο τὸν ὄνειρον C/ ἄγγελον αὐτοῦ C (27) οἱ οὖν (δὲ C) σατράπαι αὐτοῦ (om. C) διεκώλυον αὐτῷ τοῦ μὴ ποιῆσαι τοῦτο DC

14

⸤ὁ δὲ Ἀλέξανδρος παραλαβὼν μεθ' ἑαυτοῦ Εὔμηλον τοὔνομα σατράπην δὲ ἄρας μεθ' ἑαυτοῦ τρεῖς ἵππους εὐθέως ὥδευσεν καὶ παραγίνεται εἰς τὸν καλούμενον Ἀρσινόην ποταμόν.οὗτος δὲ ὁ ποταμὸς πήγνυται τοῖς χιόσιν,ὥστε ἐδαφοῦσθαι αὐτὸν καὶ πετρώδη γίνεσθαι καὶ διαπερᾶσθαι εἰς αὐτὸν καὶ τὰ κτήνη καὶ τὰς ἅμαξας,εἶτα μεθ' ἡμέρας λύεται καὶ γίνεται βαθύρρους λίαν,ὥστε κατασύρειν τοὺς συλληφθέντας τῷ ῥεύματι διαπερῶντας.εὗρεν οὖν παγέντα τὸν ποταμὸν ὁ Ἀλέξανδρος καὶ ἀναλαβὼν τὸ σχῆμα,ὅπερ εἶδεν δι' ὀνείρου φοροῦντα τὸν Ἄμμωνα,καθίσας εἰς ἕνα δοκιμώτατον ἵππον διαπερᾷ μόνος·τοῦ δὲ Εὐμήλου παρακαλοῦντος αὐτῷ σὺν αὐτῷ διαπερᾶσαι,μὴ γένηται αὐτῷ τις ἀνάγκη βοηθείας ἕνεκεν χάριν,λέγει αὐτῷ Ἀλέξανδρος· "ὧδε μεῖνον μετὰ τῶν δύο πώλων·ἔχω γὰρ βοηθὸν τὸν χρησμοδοτήσαντά με."

εἶχεν δὲ ὁ ποταμὸς τὸ πλάτος μέτρον σταδίου ἑνός·καὶ ἀποβὰς Ἀλέξανδρος ὥδευσεν καὶ ἦλθεν ἔγγιστα τῶν πυλῶν ⸤Περσίδος.οἱ οὖν ἐκεῖ φρούραρχοι θεασάμενοι αὐτὸν ἐν τοιούτῳ σχήματι ὑπενόουν αὐτὸν θεὸν εἶναι·κατασχόντες γὰρ αὐτὸν ἐπυνθάνοντο παρ'αὐτοῦ,τίς ἂν εἴη.εἶπε δὲ αὐτοῖς Ἀλέξανδρος· "τῷ βασιλεῖ Δαρείῳ παραστήσατέ με, αὐτῷ γὰρ ἀπαγγελῶ,τίς εἰμι."

ἔξω δὲ ἐπὶ λόφων ἦν Δαρεῖος τάφους ὀρύσσων καὶ φάλαγγας

(1) Εὔμηλον RCDL, Ἕρμηλον B (2) σατράπην αὐτοῦ C, σατράπην ὄντα D/ δὲ om. CDBL/ καὶ τρεῖς ἵππους CD (3) εἰς τὸν ποταμὸν τὸν ὅμως καλούμενον Στράγγαν καὶ Ἀρσινόην C (4) ταῖς χιόσιν CD (6) καὶ post αὐτὸν om. CDBL/ οἱ ἁμάξαις R (8) συσχεθέντας (om.C) καὶ διαπερῶντας τῷ ῥεύματι CD (9) ὃς καὶ ἀναλαβὼν D (1o) καὶ καθίσας CB/ καθίσας εἰς τὸν Βουκέφαλον ἵππον BL (11) παρακαλοῦντος αὐτὸν CBL, παρακαλοῦντος D (12) ὡς ἂν μὴ γένηταί τις αὐτῷ D (13) ἕνεκεν χάριν R, ἕνεκεν χάριν τινὸς C, τούτου χάριν D, om. BL: fuit igitur ἕνεκα glossa ad vocem χάριν male intellectam / ὁ Ἀλέξανδρος D (14) χρησμοδοτήσαντά με τοῦτο τὸ σχῆμα ἀναλαβεῖν με καὶ μόνον πορευθῆναι C(BL) (16) ὁ ποταμὸς ἐκεῖνος D (18) καὶ οἱ ἐκεῖ CBL, οἱ οὖν φρούραρχοι D (19) θεὸν αὐτὸν εἶναι CDB/ κατασχόντες δὲ CDBL (21) πρὸς αὐτοὺς D/ βασιλεῖ ὑμῶν C (22) τίς εἰμι, ἐπειδὴ καὶ πρὸς αὐτὸν ἀπεστάλην. οἱ δὲ θαυμάσοντες(sic) τὴν αὐτοῦ θαρσαλέαν ἀπόκρισιν παρέστησαν αὐτὸν τῷ Δαρείῳ C

(23) ἐπὶ λόφου C/ τάφους R, possis τάφρους, στράτας CDBL, στρατούς Mueller

συντάσσων.συναθροίσας δὲ 'Αλέξανδρος θεωρίᾳ τῇ ξένῃ πάντας,παρ'ὀλίγον προσεκύνησεν αὐτὸν Δαρεῖος θεὸν ὀνομάσας αὐτὸν ἐξ 'Ολύμπου κατελθόντα.ἐκαθέζετο δὲ Δαρεῖος ἐπί τινος ὑψηλοτάτου δίφρου διάδημα φορῶν ἐν λίθοις πολυτίμοις,ἐσθῆτα δὲ σηρικὴν Βαβυλωνίοις ὑφάσμασιν χρυσονήμασιν καὶ πορφύραν βασιλικὴν χρυσέοις τε ὑποδήμασιν διὰ λίθων κειμένων μέχρι τῶν κνημῶν αὐτοῦ· χρύσεα δὲ ἀγγελίδια ἐπάνωθεν αὐτοῦ ἵπταντο,ἕτερα δὲ περὶ τοῖς ποσὶν αὐτοῦ καὶ κύκλῳ αὐτοῦ λυχνίαι περιέστραπτον·σκῆπτρα δὲ ἑκατέρωθεν,στίφη μυριάδες πέριξ αὐτοῦ.ὡς οὖν εἶδεν 'Αλέξανδρος μικρόν τι ἐδεδίει,ἀλλ' οὖν πάλιν ἀνέθορεν ὑπομιμνησκόμενος τοῦ χρησμοῦ.

ὁ δὲ Δαρεῖος ἐπυνθάνετο αὐτῷ παρ' αὐτοῦ,τίς ἂν εἴη,θεωρήσας φοροῦντα αὐτὸν σχῆμα,ὃ μηδέποτε εἶδεν.ὁ δὲ 'Αλέξανδρος εἶπεν αὐτῷ· "ἄγγελός εἰμι 'Αλεξάνδρου τοῦ βασιλέως." λέγει αὐτῷ Δαρεῖος· "καὶ τί παρῇς πρὸς ἡμᾶς;" ὁ δὲ 'Αλέξανδρος εἶπεν· "ἐγώ σοι μηνύω,ὡς παρόντος 'Αλεξάνδρου·ὁπότε τὸν πόλεμον συνάπτεις; γίνωσκε,βασιλεῦ Δαρεῖε,ὅτι βραδύνων εἰς μάχην βασιλεὺς ἤδη πρόδηλός ἐστιν τοῖς ἀντιδίκοις ἀσθενῆ ἔχων ψυχὴν εἰς τὸ πολεμεῖν.ὥστε οὖν μὴ ἀμέλει,ἀλλὰ ἀνάγγειλόν μοι,πότε βούλει τὸν πόλεμον συνάψαι." ὁ δὲ Δαρεῖος ὀργισθεὶς εἶπε τῷ 'Αλεξάνδρῳ· "σοὶ οὖν συνάπτω τὸν πόλεμον ἢ 'Αλέξανδρον·ὄντως γὰρ ἦν θρασυνόμενος ὡς 'Αλέξανδρος τυγχάνων.ἐπὶ οὖν τὸν συνήθη δεῖπνον ἐλεύσομαι καὶ συνδειπνήσεις μοι,διότι καὶ αὐτὸς 'Αλέξανδρος δεῖπνον ἐποίησεν τοῖς ἐμοῖς γραμματοφόροις."

(1) συντάσσων ὡς ἡρώων ὄντων τῶν Μακεδόνων CDL, συντάσσων διὰ τὴν τῶν Μακεδόνων ἐπέλευσιν B/ συναθροίσας: ἀθρήσας A, in β et γ male intellectum et inde corruptum / τῇ θεωρίᾳ CBL, τῇ ξένῃ θεωρίᾳ D (2) πάντας τοὺς Πέρσας D (3) ὀνομάσας R, νομίσας CDBL/ αὐτὸν εἶναι C/ κατελθόντα αὐτῷ καὶ βαρβάρων στολαῖς κεκοσμῆσθαι C(BL) (5) λίθοις κεκοσμημένον C/ ἐν Βαβυλωνίοις D (6) καὶ χρυσονήμασιν ὑφασμένην C, καὶ χρυσονήμασιν ἦν ἠμφιεσμένος D/ χρυσέοις τε ὑποδήμασιν RCDBL, χρύσεά τε ὑποδήματα Mueller (7) διὰ λίθων κεκοσμημένοις C (8) enuntiatum χρύσεα - 9 περιέστραπτον om. BL, hanc partem e recensione ε sumpserunt RCD/ ἵπταντο ἐπάνωθεν αὐτοῦ D (9) περιέστραπτον λυχνίαι CD (10) στίφη δὲ CDBL/ μυριάδων CB (11) ὡς - 12 χρησμοῦ om. BL, e recensione ε sumptum / εἶδεν ταῦτα D (13) ἐπυνθάνετο αὐτοῦ(αὐτῷ D), τίς ἂν εἴη CD (14) ὅπερ D (16) καὶ λέγει αὐτῷ Δαρεῖος ὁ βασιλεὺς C (17) malim πάρει/ ἔγωγε μηνύων σοι D, ἐγὼ σημαίνω σοι C (18) ὡς παρόντος: i.e. ἐγὼ σοὶ λέγω ὡσεὶ 'Αλέξανδρος παρείη/ ὁπότε RD, πότε CBL/ συνάψεις D (19) γίνωσκε οὖν (δὲ D) CDBL (20) πρόδηλός ἐστι τῷ ἀντικειμένῳ αὐτοῦ C (22) ὁπότε D/ συνάψαι τὸν πόλεμον CBL (23) εἶπεν αὐτῷ C (24) ἢ 'Αλεξάνδρῳ CDB/ οὕτως γὰρ ἧς CD (25) τυγχάνων καὶ τολμηρῶς ἀποκρίνῃ C, τυγχάνων καὶ τολμηρῶς καὶ ἀναισχύντως ἀποκρίνῃ ὡς ἔξω τοῦ κράτους μου ὢν D(BL) (26) ἐλευσόμεθα C (27) ἐποίησεν RDBL, ἐποίει C

καὶ οὕτως εἰπὼν Δαρεῖος,κρατήσας ἐκ τῆς χειρὸς 'Αλέξανδρον ἦλθεν ἔνδον τοῦ παλατίου αὐτοῦ.καὶ τοῦτο τὸ σημεῖον καλὸν ἔσχεν 'Αλέξανδρος χειραγωγηθεὶς ὑπὸ τοῦ τυράννου.εὐθέως δὲ ἐκηρύχθην πρῶτος 'Αλέξανδρος εἰς τὸν δεῖπνον Δαρείου.

15

οἱ δὲ Πέρσαι ἀπέβλεπον θαυμάζοντες τὸν 'Αλέξανδρον ἐπὶ τῇ τοῦ σώματος σμικρότητι,ἀλλ' ἠγνόουν,ὅτι ἐν μικρῷ ἀγγείῳ τύχης οὐρανίου ἦν δόξα.τῶν δὲ πινόντων ἐν τοῖς σκύφοις πυκνοτέρως 'Αλέξανδρος ἐπίνοιαν τοιαύτην ἐποίησεν·ὅσους σκύφους ἐλάμβανε,μετὰ τοῦ πιεῖν ἔσωθεν τοῦ κόλπου αὐτοῦ τὸν σκύφον ἔβαλλεν. οἱ δὲ βλέποντες αὐτὸν εἶπον τῷ Δαρείῳ.ὁ δὲ Δαρεῖος φησίν· "ὦ γενναῖε,πρὸς τί ταῦτα ἐγκολπίζῃ κατακείμενος ἐπὶ δεῖπνον ἐμόν;" ὁ δὲ 'Αλέξανδρος ἔφη·"μέγιστε βασιλεῦ, ὁ ἐμὸς βασιλεὺς 'Αλέξανδρος,ὅταν δεῖπνον ποιῇ,τοῖς ταξιάρχαις καὶ ὑπερασπισταῖς αὐτοῦ τὰ κύπελλα δωρεῖται.ὑπενόουν καὶ σὲ τοιοῦτον εἶναι καὶ ἡγησάμην πιθανότητι τοῦτο ποιεῖν." τὸν λόγον 'Αλεξάνδρου οἱ Πέρσαι ἐκπλαγέντες·παντὶ γὰρ ἀεὶ μῦθος,ἐὰν ἔχῃ πίστιν,ἐν ἐκστάσει ποιεῖ τοὺς ἀκούοντας.πολλῆς οὖν σιγῆς γενομένης Παράγης τις τοὔνομα,ὁ ποτὲ ἀποσταλεὶς παρὰ Δαρείου

(1) τὸν 'Αλέξανδρον C (2) τοῦτο δὴ C, τοῦτο δὲ DBL (3) καλὸν R, ἀγαθὸν CDBL/ εἰς τὸν δεῖπνον Δαρείου χειραγωγηθεὶς C (4) καὶ εἰσελθὼν ἔνδον εὐθέως ἐκηρύχθη C (7) διὰ τὴν τοῦ σώματος σμικρότητα,μᾶλλον δὲ τὰς αὐτοῦ ἀποκρίσεις τὰς γινομένας μετὰ συνέσεως καὶ θάρσους πρὸς τὸν Δαρεῖον C (9) κύφοις R/ πυκνοτέρως ἐν τοῖς σκύφοις CBL/ τοιαύτην ἐπίνοιαν CB (10) καὶ γὰρ ὅσους D (11) ἔσωθεν τοῖς κόλποις αὐτοῦ ἔβαλλεν C, ἐν τοῖς κόλποις αὐτοῦ ἔβαλλεν ἕνα ἕκαστον D/ οἱ δὲ περιεστῶτες βλέποντες τὸ γεγονὸς διεσάφησαν ἅπαντα τῷ Δαρείῳ D, οἱ δὲ Πέρσαι βλέποντες αὐτὸν ποιοῦντα οὕτως εἶπον τῷ Δαρείῳ.ἀνάστας δὲ Δαρεῖος εἶπεν C (13) ἀνακείμενος D/ κατακείμενος ἐπὶ τοῦ δείπνου; νοήσας δὲ 'Αλέξανδρος ἀπὸ τοῦ σχήματος τὴν ψυχὴν ἔφη C(BL) (15) δεσπότης C (16) ὑπασπισταῖς CD/ δωρεῖται αὐτοῖς CD (17) ὑπενόουν δὲ καὶ CD/ τοιοῦτον εἶναι ὁποῖος ἐκεῖνός ἐστι C(BL) (18) τὸν λόγον οὖν CL, ἔνθεντοι καὶ τὸν λόγον αὐτοῦ D (19) ἐκπλαγέντες ἐθαύμαζον BL, ἐκπλαγέντες καὶ διὰ θαύματος ἔχοντες καὶ διαφημίζοντες τοῦτον ὡς ἐχέφρονα ὄντα καὶ νουνεχῆ D/ πᾶς γὰρ μῦθος B (20) a verbis πολλῆς οὖν σιγῆς recensionem ε sequitur γ. post ἀκούοντας haec e recensione β interponit C: πολλῆς οὖν σιγῆς γενομένης ἅπαντες ἐθαύμασαν τὰ τοῦ 'Αλεξάνδρου προτερήματα.ἀνεγνώρισε δὲ τὸν 'Αλέξανδρον Παράγης τις τοὔνομα,ὁ γενόμενος ἡγεμὼν ἐν τῇ Περσίδι. ᾔδει γὰρ ἀληθῶς τὸν 'Αλέξανδρον κατὰ πρόσωπον,ἡνίκα τὸ πρῶτον ἦλθεν εἰς τὴν Πέλλην τῆς Μακεδονίας,ὑπὸ Δαρείου πεμφθεὶς τοὺς φόρους ἀπαιτεῖν(lectio incerta) καὶ ἐκωλύθη ὑπὸ 'Αλεξάνδρου.ἀπὸ τούτου οὖν ἐγίνωσκεν ἀκριβῶς τὸν 'Αλέξανδρον καὶ κατανοήσας αὐτὸν ἐπιεικῶς εἶπεν ἐν ἑαυτῷ·ὢ οἷον ἑώρακα σήμερον,ἆρα οὗτός ἐστιν ὁ τοῦ Φιλίππου παῖς,εἰ καὶ τοὺς τύπους αὐτοῦ ἤλλαξε. πολλοὶ γὰρ ἄνθρωποι τῇ φωνῇ γινώσκονται,κἂν ἐν σκότῳ

ἐν Μακεδονίᾳ τοὺς φόρους κομίσων,ἐπιστὰς ἔστη ἄντικρυς Ἀλεξάνδρου καὶ φησὶν καθ' ἑαυτόν· "ὢ οἷον ἑώρακα σήμερον" καὶ προσελθὼν τῷ Δαρείῳ ἔφη· "ἔχω σοί τι καινὸν διηγήσασθαι".ὁ δὲ Δαρεῖος, "τί" φησίν; καὶ ὁ Παράγης· "γινωσκέτω σοι,βασιλεῦ,ὁ ἄγγελος οὗτος ὁ Μακεδονικὸς αὐτὸς ἐκεῖνός ἐστιν ὁ Φιλιππιάδης Ἀλέξανδρος,εἰ καὶ τοὺς τύπους αὐτοῦ ἤλλαξεν". Ἀρξεμβὰρ δὲ τούτῳ ἐπετίμα ὡς οὐκ εἰδότα τὰ λεγόμενα. Ἀλέξανδρος δὲ τοῦτο ἐπιγνοὺς καὶ τὸν λόγον αὐτῶν στοχασάμενος ἐγνώκει ἀναγνωρισθῆναι καὶ διεσκόπει ἑαυτόν,πῶς ἂν δυνηθείη τὸν κίνδυνον διεξελθεῖν.ἐπὶ τούτοις Δαρεῖος κελεύει τοῦ δείπνου ἐξιέναι,τὸν δὲ Ἀλέξανδρον ξενισθῆναι ἐν τῷ ἀφορισμένῳ αὐτοῦ τόπῳ,τῆς δὲ ἑῴας καταλαβούσης τὰ περὶ αὐτὸν διερευνηθῆναι.οἱ δὲ Πέρσαι πάντες οἱ συνέστιοι Δαρεῖον ἦσαν οἰνωμένοι σφόδρα.

Ἀλέξανδρος δὲ ὑποδὺς ἐν τόπῳ τινι ἐκδιδύσκεται τὴν δερματινὴν στολὴν καὶ τὴν τῆς κεφαλῆς ἐπικάλυψιν καὶ ἔμεινεν μεθ' ἣν ἐπεφέρετο Περσικὴν στολὴν καὶ ὡς εἷς τοῦ Δαρείου ἐπεφέρετο καὶ ἐνομίζετο·καὶ δὴ διελθόντι ὅλον τὸν ἐκεῖσε λαὸν Δαρείου ἔρχεται πρὸς τὸν φρουράρχην,καθεζόμενος ἐν τῷ διεξόδῳ τοῦ φοσσάτου καὶ δᾷδαν κρατοῦντα καὶ διερευνῶντα τοὺς εἰσιόντας καὶ τοὺς ἐξιόντας·καὶ λέγει αὐτῷ Ἀλέξανδρος· "τήν δᾷδαν μοι πάρεχε,παρὰ Δαρείου γὰρ ἀπέσταλμαι ἔν τινι δουλείᾳ."

διαβαίνωσιν (lectio dubia)· οὕτως οὖν πληροφορηθεὶς ὑπὸ τῆς ἰδίας συνειδήσεως, ὅτι αὐτός ἐστιν ὁ 'Αλέξανδρος, προσανακλιθεὶς λέγει τῷ Δαρείῳ· μέγιστε βασιλεῦ Δαρεῖε καὶ δυνάστα πάσης χώρας, ἔχω σοί τι καινὸν διηγήσασθαι. ὁ δὲ Δαρεῖος, τί ,φησίν, καὶ ὁ Παράγης· γίνωσκε, βασιλεῦ, ὅτι οὗτος ὁ πρέσβυς ὁ Μακεδονικὸς αὐτὸς ἐκεῖνός ἐστιν 'Αλέξανδρος, ὁ Μακεδόνων βασιλεύς, ὁ τοῦ Φιλίππου υἱός, εἰ καὶ τοὺς τύπους αὐτοῦ ἤλλαξεν. 'Αρξέμβαρ(lectio dubia) δὲ τούτῳ ἐπετίμα ὡς οὐκ εἰδότι τὰ λεγόμενα. ὁ δὲ Δαρεῖος καὶ οἱ συνέστιοι αὐτοῦ ἦσαν μεθύοντες σφόδρα. ὁ οὖν 'Αλέξανδρος ἐπιγνοὺς κτλ·

(3) προσελθὼν πρὸς τὸν Δαρεῖον D (5) δέσποτα βασιλεῦ, ὅτι D (6) Φιλιππιάδης: nota patronymicum more homerico formatum (7) ἤλλαξεν καὶ τὴν στολὴν D/ 'Αρ...βαρ R, 'Αρξέμμαρ D (9) ἐγνώκει RD, ἐδόκει CQ (10) διεσκόπει ἐν ἑαυτῷ CDQ
(11) διεξελθεῖν D, ..εξελθεῖν R, διεκφυγεῖν CQ
(12) τὸν δὲ γὲ D/ ξενίσασθαι DQ, ξενίζεσθαι C
(13) τῆς δὲ ὥρας καταλαβούσης οἱ Πέρσαι πάντες ἦσαν οἰνουμένοι σφόδρα καὶ κεκραιπαληκότες ἐξ οἴνου C
(14) συνέστιοι Δαρείου D (16) ἐκδύεται D
(18) Περσικὴν στολὴν RC(Q), ἀμφίασιν Περσικὴν D
(19) ἐπεφέρετο καὶ om.CDQ / ἐνομίζετο RD, ἐγνωρίζετο C διελθόντι RD, διελθὼν Q, ἐξελθὼν C
(20) φρουράρχην τὸν καθεζόμενον D/ ἔρχεται ἔξω πλανήσας πάντας πρὸς τὸν φρουράρχην καὶ εὗρεν αὐτὸν καθεζόμενον C (22) διερευνῶντα CQ, διερεύοντα R, ὃς καὶ δᾷδαν κρατῶν διηρεύνω D/ τοὺς ante ἐξιόντας om. C
(23) 'Αλέξανδρος om.CDQ / παράσχε D
(24) ἀπέσταλμαι RDQ, ἀπέρχομαι C

ὁ δὲ οὐκ ἐδίδου αὐτῷ· Ἀλέξανδρος δὲ τὴν δᾷδαν δραξάμενος κρούει αὐτὸν κατὰ τῆς ὄψεως καὶ ἀπέσπασεν ἑαυτὸν ἐξ αὐτῶν· καὶ πλανήσας πάντας ἐπιβὰς ὀξέως τῷ πώλῳ αὐτοῦ ἥλατο ἔχων ἐν τοῖς κόλποις ἑαυτοῦ καὶ τοὺς χρυσοῦς σκύφους.

Δαρεῖος δὲ εἰς ἔννοιαν ἐλθὼν Ἀλεξάνδρου καὶ τὸ πανοῦργον αὐτοῦ ἐν αὐτῷ λαβὼν ἕνα τῶν ὑπ' αὐτοῦ ἔφη· "κρατήσατε τὸν παῖδα καὶ ἀσφαλίσασθε, μήπως Ἀλέξανδρος ὢν πανουργευσάμενος ἡμᾶς φύγῃ καὶ οὐκέτι ἐλπὶς ἡμῖν σωτηρίας." ἤρξαντο δὲ ἐπιζητεῖν Ἀλέξανδρον καὶ οὐχ εὑρίσκετο καὶ τρέχουσιν ἐν τῷ ξενίῳ αὐτοῦ καὶ οὐχ εὗρον οὐδένα καὶ θορύβου γενομένου τρέχουσιν πρὸς τὸν φρούραρχην ἐρωτῶντες. ὁ δὲ φρουράρχης, "ὦ ὑμεῖς", εἶπεν, "Ἀλέξανδρος ὑμᾶς ἔπαιξεν· καὶ βλέπετε αὐτὸν ἀπιόντα· σπουδάσατε οὖν καὶ καταλαμβάνετε αὐτόν· τὴν γὰρ δᾷδαν ἐκ τῆς χειρός μου ἁρπάσας καὶ κατὰ τῆς ὄψεώς μου τύψας ἀπῄει." ἀκούσας δὲ ταῦτα Δαρεῖος ἐξέπεμψε Πέρσας ἐνόπλους τὸν Ἀλέξανδρον καταλαβεῖν.

ὁ δὲ Ἀλέξανδρος προεθυμοποίει τὸν πῶλον διευθύνων αὐτῷ τὴν ὁδόν. ἦν γὰρ νὺξ βαθεία καὶ σκότος κατ' Ὀλύμπου. πλεῖστοι δὲ τοῦτον κατεδίωκον καὶ οὐ κατελάμβανον αὐτόν, οἱ μὲν γὰρ εἶχον τὴν ὁδευτικὴν γῆν, οἱ δὲ ἐπὶ σκότους ἔπιπτον εἰς τοὺς κρημνούς. ὁ δὲ Ἀλέξανδρος ἦν ὥσπερ ἀστὴρ ἐξ οὐρανοῦ φαιδρὸς ἀνύων τὴν ὁδὸν μόνος καὶ εἰς οὐδὲν φεύγων ἡγεῖτο τοὺς Πέρσας. Δαρεῖος δὲ συνεφορᾶτο ἐπὶ τοῦ κλιντῆρος αὐτοῦ καθημένου.

(1) ἀπ' αὐτοῦ τὴν δᾳδαν D (3) ἐξ αὐτῶν RD, ἐξ αὐτοῦ CQ/ καὶ πλανήσας - 5 σκύφους e recensione β sumptum| πλανήσας πάντας om. C (4) κόλποις αὐτοῦ CBL

(5) post σκύφους add. καὶ λαθραίως ᾤχετο φεύγων τὸν κίνδυνον.ὁ δὲ Δαρεῖος εἰς αἴσθησιν ἐλθὼν ἀπὸ τοῦ πολλοῦ οἴνου διενοεῖτο περὶ τοῦ 'Αλεξάνδρου καὶ τὸ πανοῦργον C

(7) ἐν ἑαυτῷ CDQ/ ὑπ' αὐτὸν CD/ ἔφη RDQ, προσεφθέγξατο· τὸν παῖδα τοῦτον ἀσφαλίσασθε C

(8) τόνδε τὸν παῖδα D ἐκφύγῃ C/ οὐκέτι (οὐκ C) ἐστὶν ἡμῖν ἐλπὶς CDQ

(12) τοιγάρτοι καὶ D/ φρούραρχον DQ

(13) ὦ ὑμεῖς (ἡμεῖς R) εἶπεν RDQ, εἶπεν ὦ ὑμεῖς C

(14) ὑμᾶς RD, ἡμᾶς CQ/ ἔπαιξεν RDQ, ὑπεξέφυγε C(= ἐξάϊξεν)

(15) καταλάβετε CQ/ post αὐτὸν add. πλὴν δὲ σπουδαίως D (16) ἀφαρπάσας C (17) a verbis ἀκούσας δὲ recensionem β sequitur γ .

(19) τὸν πῶλον ὡς ἂν D (20) κατ' 'Ολύμπου πρὸς ὄρθρον C (21) κατέλαβον CBL (22) οἱ μὲν γὰρ εἶχον τὴν ὁδευτικὴν γῆν : fuit fere ὁ (sc. 'Αλέξανδρος) μὲν γὰρ εἶχε τὴν ὁδευτικὴν πεύκην, οἱ δὲ κτλ.

(23) συνέπιπτον CBL (24) καὶ εἰς οὐδὲν φεύγων haec valde mira (25) ἡγεῖτο φεύγων C/ συνεφοράζετο BL (26) καθεζόμενος CDBL, deinde add. πρὸς τούτοις δὲ ἐθεάσατό τι σημεῖον· εἰκὼν γὰρ Ξέρξου τοῦ βασιλέως ἐξαίφνης ἐκ τοῦ ὀρόφου ἐξέπεσεν, ἣν πάνυ ἠγάπα Δαρεῖος, ὅτι ἦν εὐπρεπεστάτη γραφή C(BL)

ὁ δὲ 'Αλέξανδρος διασωθεὶς νυκτὶ φεύγων ἦλθεν ἕωθεν ἐπὶ τὸν 'Αρσινόην ποταμὸν καὶ ἅμα αὐτὸν διεπέρασεν.παρὰ τὴν ὄχθαν ἐλθόντος τοῦ πώλου,τὸ κρύος ἐκ τῶν ὀπίσω αὐτοῦ διελύετο,μικροῦ δήπου καὶ 'Αλέξανδρον κατασχεῖν.γνοὺς δὲ τὴν τοῦ κρύους σύμπτωσιν,ὡς ὁ ἵππος αὐτοῦ ἤρξατο χαλᾶν,εὐθὺς ἔστη ὄρθριος ἐν τῇ ἕδρᾳ καὶ πρὸς τὴν γῆν ἐξεπήδησεν,ὁ δὲ ἵππος τοῖς ὕδασι συσχεθεὶς ἀπώλετο.τοιαύτην γὰρ ὁ ποταμὸς εἶχεν τὴν φύσιν,ὥστε αὐτὸν καὶ ἄφνω παγοῦσθαι καὶ ἄφνω διαλύεσθαι.ὀξύτατος γὰρ ἦν ὑπὲρ Χελετρίου τοῦ ἐν Μήλοις τῷ ῥεύματι·ὁπόταν γὰρ τῷ κρυΐ ἐπήρχετο,εὐθέως τῷ παγετῷ ἐπήγνυτο,νότος δὲ πάλιν ἐρχόμενος,ταχέως τὰ ῥεύματα ἡ θέρμη κατελάμβανεν,καὶ παραχρῆμα διελύετο.

ἔρχονται οὖν οἱ ἐπιδιώκοντες καὶ τὸν μὲν ποταμὸν ἀπέραντον εὗροσαν,'Αλέξανδρον δὲ ἐκπεράσαντα βλέπουσιν καὶ ἀθρόως καὶ ἐξεπλάγησαν διαποροῦντες τὴν τοῦ ποταμοῦ διάβασιν.ἐγγίσας δὲ πρὸς αὐτοὺς 'Αλέξανδρος εἶπεν· "ὦ ἄνδρες,τί ἑστήκατε διαπορούμενοι;εἰ πρὸς Μακεδόνας Δαρεῖος ὑμᾶς συνήθροισεν μαχήσασθαι,τῷδε τῷ ποταμῷ ἐδεδίειτε;ῥείθρῳ τοῦ ῥεύματος εἰ ὅλως τοῦτο φοβεῖ ὑμᾶς,μηδαμῶς Μακεδόσι μάχεσθαι κατατολμῆσαι.ἐν γὰρ τῷ ῥεύματι τούτῳ ἡμεῖς διεπεράσαμεν,ὑμῖν δὲ τοῦτο περᾶσαι ἀδύνατον; λοιπὸν ἄπιτε καὶ εἴπατε Δαρείῳ· 'Αλέξανδρος 'Αρσινόου τοῖς ῥεύμασιν ἐπιβὰς διεπέρασε καὶ πρὸς τὸ Μακεδονικὸν διασέσωσται στῖφος." ταῦτα ἀκούσαντες Πέρσαι εἰς παντελῆ δειλίαν ἐμπίπτουσιν καὶ πρὸς Δαρεῖον ἐπιστραφέντες τὰ περὶ 'Αλέξανδρον διηγοῦνται.

(1) ὁ δὲ 'Αλέξανδρος φεύγων ἐν τῇ νυκτὶ ἐκείνῃ ἦλθεν D/ ἔωθεν om. CB/ ἐπὶ τὸν Στράγγαν τὸν καλούμενον καὶ Αρσινόην ποταμὸν C(BL) (2) καὶ ἅμα τῷ διαπερᾶσαι αὐτὸν C(BL)/ καὶ παρευθὺς D (3) ἐλθόντος γοῦν παρὰ τὴν ὄχθαν τοῦ πώλου D/ πώλου καὶ τοὺς ἐμπροσθίους(lectio incerta) πόδας θέντος ἐπὶ τῆς γῆς ὁ ποταμὸς ἐκ τῶν ὀπίσω αὐτοῦ διελύετο ὑπὸ τῆς τοῦ ἡλίου ἀκτῖνος μικροῦ δήπου C(BL) (4) γνοὺς: recensionem ε sequitur γ. / γνοὺς δὲ ὁ τοιοῦτος D (5) ὑποχαλᾶν D (6) ὄρθιος CD (7) ὁ δὲ πῶλος ὑπὸ τοῦ ὕδατος ἐπεφέρετο.τοιαύτην γὰρ φύσιν ὁ ποταμὸς εἶχεν C/ τοιαύτην γὰρ φύσιν εἶχεν ὁ ποταμὸς ἐκεῖνος D (9) ἐξαίφνης D/ ὀξύτατος ἦν οὑτοσί D (10) τὸ κρύος ἐπήρχετο CD (11) νότος γὰρ C (12) καὶ ταχέως D, τὰ ῥεύματα ταχέως C/ καὶ ante παραχρῆμα om. D (14) μὲν om. C (15) ἐκ(εἰς- D, δια- C) περάσαντα RQ (16) ἀθρόως ἐξεπλάγησαν CD (17) post διάβασιν perg. ὁ δὲ 'Αλέξανδρος πρὸς αὐτοὺς εἶπεν C (18) Δαρεῖος om. D (19) μάχεσθαι C (20) ἐν τῷ ῥείθρῳ D, καὶ τὸ ῥεῖθρον C, deb. ῥεῖθρον/ ἐκφοβεῖ C (21) Μακεδόσι παλαίειν καὶ πολεμεῖν D/ κατατολμήσατε CDQ/ ῥεύματι τούτῳ,ὡς ὁρᾶτε,διεπεράσαμεν D (22) τοῦ περᾶσαι τοῦτον D, τὸ περᾶσαι C (23) ὅτι 'Αλέξανδρος C, ὡς 'Αλέξανδρος ὁ βασιλεὺς D (24) διεπέρασα R/ διεπέρασεν ἀκινδύνως D/ τὸ om. R (25) οἱ Πέρσαι C (26) ἀντιστραφέντες CQ/ τὰ περὶ 'Αλεξάνδρου C (27) διηγοῦνται λεπτομερῶς D

ἐν ἀμηχανίᾳ οὖν γενομένου τοῦ Δαρείου καὶ τόδε προσφθεγξαμένου· " ὢ οἷον", ἔφη, " γαυρίαμα παιδίου Μακεδόνος, ὃς οὐκ ἐφείσατο τῆς σωτηρίας αὐτοῦ, ἀλλ' ἔθετο ἀποθανεῖν ἢ τὴν ἡμῶν κατασκοπῆσαι δύναμιν."

ἐπὶ τούτοις δειλία τοῖς Πέρσαις ἔπεσε καὶ εἶπεν ἕκαστος τῷ πλησίον· "τίς δύναται μετὰ 'Αλέξανδρον μαχήσασθαι; τίς πρὸς τοιοῦτον ἀντιπαρατάξεται στρατόν; ἧκεν εἰς ἡμᾶς Δαρεῖος Μακεδονικὸν γενέσθαι πρόσκομμα· φύγωμεν δὲ ἀπ' αὐτοῦ· οὐ γάρ ἐστιν ἡμῖν ἐλπὶς νίκης."

ὁ δὲ 'Αλέξανδρος πεζεύσας ἀπὸ τοῦ ποταμοῦ εὗρεν Εὔμηλον καθεζόμενον μεθ' ὧν κατέλιπεν αὐτῷ δύο πώλων καὶ ὑφηγησάμενος αὐτῷ πάντα τὰ πραχθέντα.

16

ἐλθὼν δὲ εἰς τὴν παρεμβολὴν τῶν στρατευμάτων εὐθέως ἐκέλευσεν τὰς φάλαγγας τῶν 'Ελλήνων ἐξ ὀνόματος καθοπλισθῆναι καὶ ἑτοίμως παραστῆναι Δαρείῳ· αὐτὸς δὲ ἐν μέσῳ ἕστηκεν αὐτῶν, θρασύνων αὐτούς· καὶ συναθροίσας πάντα τὰ στρατεύματα αὐτοῦ εὗρε τὸν ἀριθμὸν χιλιάδας διακοσίας ὀγδοήκοντα· καὶ στὰς ἐφ' ὑψηλοῦ τόπου τινὸς παρῄνει αὐτοῖς λέγων·" ἄνδρες συνστρατιῶται, εἰ καὶ βραχὺς ὁ ἀριθμὸς ἡμῶν, ἀλλὰ φρόνησις μεγάλη παρ' ἡμῶν καὶ θάρσος καὶ δύναμις ὑπὲρ τοὺς Πέρσας τοὺς ὑπεναντίους ἡμῶν. μηδεὶς οὖν ἡμῶν ἀσθενέστερόν τι λογίσηται θεωρῶν τὰ πλήθη τῶν βαρβάρων· εἷς γάρ τις ἐξ ἡμῶν χεῖρα γυμνώσας τῶν ἀντιμάχων χιλίους ἀναιρήσει· μηδεὶς οὖν ἡμῶν δειλιάσῃ· πολλαὶ γάρ εἰσι μυριάδες μυιῶν

(1) τοῦ βασιλέως Δαρείου καὶ τόδε προσφθεγξαμένου οὑτωσί D, γενόμενος Δαρεῖος τόδε προσεφθέγξατο C

(2) ἔφη om. CQ/ γαυρίαμα CDQ,γαβρίαμα R/ Μακεδονικοῦ D/ ὅς CDQ, om. R (5) ἐπὶ τούτῳ CQ/ ἐπέπεσε DQ/ εἶπεν ἕτερος πρὸς τὸν ἕτερον D (6) τίς δυνήσεται μαχήσασθαι μετὰ 'Αλεξάνδρου τοῦ φοβεροῦ βασιλέως D, τίς δύναται - μαχήσασθαι om. C

(7) ἧκεν R, ἦγεν Q, possis etiam ἤθελεν/ ἧκεν - πρόσκομμα om. C, post στρατὸν perg. θέλων ἡμᾶς Δαρεῖος Μακεδόνων ποιῆσαι πρόσκομμα D (9) post νίκης add. ὅτιπερ τούτου ἡ βοήθεια καὶ ἡ ἰσχὺς ἐκ τῆς ἄνω προνοίας ἐστίν D (1o) a vocibus ὁ δὲ 'Αλέξανδρος recensionem β sequitur γ / τὸν ῥηθέντα Εὔμηλον D

(11) καὶ ὑφηγήσατο C, ὅντινα καὶ ὑφηγήσατο πάντα δὴ τὰ πραχθέντα D

(13) εἶτα ἦλθεν εἰς C/ στρατευμάτων αὐτοῦ D/ καὶ εὐθέως C/ εὐθέως - 16 στρατεύματα αὐτοῦ om. B

(15) ἑτοίμους C/ ἐν μέσῳ αὐτῶν CDL (16) ὅς καὶ συναθροίσας D/ στρατεύματα RL, στρατόπεδα CD

(18) ὑψηλοῦ τινος τόπου C/ αὐτοῖς RDBL, αὐτούς C

(19) συστρατιῶται CBL (2o) παρ' ἡμῶν R, παρ'ἡμῖν CDBL/ δύναμις καὶ ἰσχὺς D/ ὑπὲρ RD, ὑπὸ C

(21) τοὺς ἐναντίους CDB (22) τὸ πλῆθος CDBL

(23) χεῖρα RDBL, σπάθην C/ ἀντιμάχων RDBL, ἀντιδίκων C/ μηδεὶς οὖν ἐξ ἡμῶν C, μηδεὶς ἀφ' ἡμῶν τῶν γενναίων καὶ ..... ἀνδρῶν ὅλως δειλιάσῃ D

λειμῶνας θλίβουσαι· ὁπόταν δὲ ταύταις ἐμπέσωσι σφῆκες, σοβοῦσιν αὐτὰς ταῖς πτέρυξιν· οὕτως καὶ τὸ πλῆθος οὐδέν ἐστιν πρὸς ἡμᾶς." καὶ οὕτως εἰπὼν 'Αλέξανδρος ἐθράσυνε τὰ στρατεύματα αὐτοῦ· τὰ δὲ στρατεύματα ἠνδραγάθουν καὶ εὐφήμουν τὸν 'Αλέξανδρον.

ὁδεύσας οὖν ἔρχεται ἐπὶ τὰ μέρη τοῦ Στράγγαν ποταμοῦ, τουτέστιν ἐπὶ τὰ νῶτα αὐτοῦ. ὁ δὲ Δαρεῖος ἀναλαβὼν πᾶσαν τὴν δύναμιν αὐτοῦ ἔρχεται καὶ αὐτὸς ἐπὶ τόν Στράγγαν ποταμόν· καὶ ἰδὼν αὐτὸν ὀλιγοστὸν ὄντα καὶ παγέντα, περάσας διώδευσεν ἐν σπουδῇ, βουλόμενος πρῶτος ὑπεισελθεῖν τοῖς στρατεύμασιν 'Αλεξάνδρου, ὅπως εὕρωσιν αὐτοὺς ἀπαρασκευάστους καὶ τούτους τροπώσηται· καὶ ἁπλῶς εἰπεῖν, πᾶς στρατὸς Δαρείου ἐθωρακίσαντο ἐν πανοπλίᾳ. ὁ δὲ Δαρεῖος ἦν ἐφ' ἅρματος ὑψηλοῦ, ὁμοίως καὶ οἱ σατράπαι αὐτοῦ ἐπὶ δρεπανηφόρων ἁρμάτων ἐκαθέζοντο, ἄλλοι δὲ ἐκόμιζον ὅπλα πανουργικὰ καὶ δόρατα μηχανικά. τῶν δὲ στρατοπέδων τῶν Μακεδόνων προηγεῖτο 'Αλέξανδρος καθεζόμενος ἐπὶ τὸν Βουκέφαλον ἵππον· προσεγγίσαι δὲ τούτῳ τῷ ἵππῳ οὐδεὶς ἐδύνατο. ὡς ἑκάτερον μέρος ἔγκλαξεν πολεμικὸν μέλος, οἱ μὲν λίθοις ἔβαλλον, οἱ δὲ τόξα ἔπεμπον ὡς ὄμβρον ἀπ'οὐρανοῦ φερόμενον, ἕτεροι δὲ βολίδας ἐσφενδόνιζον, ὥστε ἐπικαλύπτειν τὸ τῆς ἡμέρας φέγγος. πολλὴ δὲ σύγχυσις ἦν τυπτόντων καὶ τυπτομένων, καὶ πολλοὶ μὲν βέλεσι τρωθέντες ἔθνησκον, ἄλλοι δὲ ἡμισφαγεῖς ἔκειντο· γνοφερὸς δὲ ἦν ὁ ἀὴρ καὶ αἱματώδης. πολλῶν δὲ Περσῶν ὀλεθρίως τελευτησάντων ὁ Δαρεῖος φοβηθεὶς ἐπέστρεψε τὰς ἡνίας τῶν ἁρμάτων τῶν δρεπανηφόρων

(1) αὐταῖς C (2) οὕτω δὴ καὶ D (3) πρὸς ἡμᾶς(πρὸς σύνεσιν BL)· σφηκῶν γὰρ ὄντων (οὐσῶν C) οὐδέν εἰσι αἱ (om. CD) μυῖαι CDBL/ οὕτως γοῦν εἰπὼν D/ ἐθάρσυνε CL (4) τὰ δὲ στρατόπεδα αὐτοῦ ἠνδραγάθουν κτλ.C, ἔνθεντοι καὶ ταῦτα ἠνδραγάθουν καὶ εὐφήμουν αὐτὸν εὐχαριστηρίοις φωναῖς D (6) ὁδεύσας οὖν 'Αλέξανδρος μετὰ τῆς αὐτοῦ στρατιᾶς C (11) εὕροιεν D (13) post πανοπλίᾳ add. κήρυκες δὲ ἐλθόντες εἰς μέσον ἐκήρυξαν καλοῦντες εἰς μάχην τοὺς ἀριστέας· ὁμοίως καὶ ὁ στρατὸς ἅπας 'Αλεξάνδρου ἐθωρακίσαντο ἐνόπλως C(BL) (14) δερπανηφόρων R/ ὁμοίως om. CBL (16) Μακεδονικῶν CL (18) ὡς δὲ CDBL (19) ἔκλαγξε CD/ λίθους CL (20) ἀπὸ οὐρανοῦ φερόμενα,οἱ δὲ ξίφη ἔβαλλον,ἕτεροι κτλ. C (21) ἐφενδόνιζον R/ ἐπικαλύπτειν ἐκ τῶν τοιούτων κακῶν D (22) ἦν τότε C, ἦν παρ' ἀμφοτέρων δὴ τῶν μερῶν τυπτόντων κτλ. D (23) καὶ ante πολλοὶ om. CBL/ ἔθνησκον πίπτοντες C (24) post αἱματώδης add.ἦν γὰρ καὶ τὸ παισίον (i.e. πεδίον) ὅλον αἵματος πεπληρωμένον ὥσπερ θάλασσα C (26) ἀπέστρεφε C/ τῶν δρεπανοφόρων ἁρμάτων C

καὶ τροχιζόντων τοὺς ἑαυτοῦ ὄχλους και θεριζόντων· αὐτὸς Δαρεῖος ἐθέριζεν τοὺς πλείστους ὄχλους τῶν Περσῶν, ὡς ἐπ' ἀρούρας στάχυας ἀγρόται τι κείροντες. καὶ ἐλθὼν Δαρεῖος ἐπὶ τὸν Στράγγαν ποταμόν, φεύγων αὐτὸς μὲν οὖν καὶ οἱ σὺν αὐτῷ ἐπέρασαν εὑρόντες παγέντα τὸν ποταμόν.

τὸ δὲ πλῆθος τῶν Περσῶν καὶ βαρβάρων βουληθέντες διαπερᾶσαι τὸν ποταμὸν καὶ φυγεῖν εἰσήλθοσαν εἰς αὐτὸν ἅπαν τὸ πλῆθος· καὶ ἐλύθη καὶ ἥρπασεν πάντας, ὅσους εὗρε. οἱ δὲ λοιποὶ Πέρσαι ἵσταντο ὑπὸ τῶν Μακεδόνων ἀναιρούμενοι καὶ βοῶντες· "ἵλεως, ἵλεως ἔσο ἡμῖν, ὦ Διὸς παῖ· μὴ εἰς τέλος καταφάγηται ἡμᾶς ἡ ῥομφαία σου· σπλαχνίσθητι ἐφ' ἡμᾶς καὶ μὴ δίκην κτηνῶν ἀπολέσειας· ἀρκέσθητι Περσικοῖς αἵμασιν τοῖς μέχρι τοῦ νῦν ὑδάτων δίκην ἐκχυθεῖσιν." ὁ δὲ 'Αλέξανδρος ἐλεήσας αὐτοὺς μηκέτι σφάξειν αὐτοὺς τοῖς Μακεδόσι προσέταξεν· ὅμως δὲ τούτους ἐπισυνάξας ἀπέλυσεν εἰπών· "φεύγετε πρὶν ἢ τὸ πλῆθος ὑμᾶς καταλάβῃ· καὶ οὐ δυνήσομαι ὑμᾶς ἐξ αὐτῶν διασῶσαι." αὐτῶν δὲ ταῦτα παρὰ 'Αλεξάνδρου ἀκουσάντων οἷα θεὸν προσκυνοῦσιν αὐτὸν καὶ φεύγουσιν ἀνυποστρέπτως καθόλου τοῖς ὄπισθεν μὴ τολμῶντες ὑποστρέφεσθαι.

Δαρεῖος δὲ φευγὼν ἦλθεν εἰς τὸ παλάτιον αὐτοῦ καὶ ῥίψας αὐτὸν εἰς τὸ ἔδαφος ἀνοιμώξας δάκρυσιν ἐθρήνει ἑαυτόν, ἀπολέσας τοσοῦτον πλῆθος στρατιωτῶν καὶ τὴν Περσίδα ὅλην ἐρημώσας· συμφοραῖς δὲ τοιαύταις συνεχόμενος ἐθρήνει ἑαυτὸν λέγων· "ὁ τηλικοῦτος βασιλεὺς Δαρεῖος, ὁ τοσαῦτα ἔθνη ὑποτάξας καὶ πάσας τὰς πόλεις καταδουλωσάμενος, ὁ θεῶν σύνθρονος γενόμενος καὶ τῷ ἡλίῳ συνανατέλλων, νῦν φυγὰς

(1) τροχίζων R/ τοὺς ὄχλους ἑαυτοῦ D/ αὐτὸς δ' ὡς ἐπὶ τὸ πλεῖστον ἐθέριξε τὰ στρατεύματα τῶν Περσῶν D/ αὐτὸς – 2 Περσῶν om. C (3) τι om. C (4) οὖν om. CB (5) διεπέρασαν CDBL (7) ἅπαν τὸ πλῆθος DR(BL), ἅπαντες C (8) καὶ ἐλύθη ἄφνω ὁ ποταμὸς καὶ ἁρπάσας πάντας, ὅσους εὗρε, τούτους καθέφθειρε C, ὃς καὶ διαλυθεὶς ἥρπασε D (1o) ἵλεως – 2o ὑποστρέφεσθαι recensionem ε sequitur γ | ἔσω RDQ, γενοῦ C/ καὶ μὴ C (12) τοῖς Περσικοῖς CQ (13) τοῦ νῦν ὑδάτων ....θεῖσιν R, τοῦ νῦν δίκην ὑδάτων ἐκχυθεῖσιν CD (14) αὐτοὺς RCQ, τούτους D/ τοῖς Μακεδόσι om.C (15) ὅμως δὲ RQ, ἐντεῦθεν καὶ D, προσέταξεν καὶ ἀπέλυσεν εἰπὼν C (17) ὑμᾶς ponit post διασῶσαι C (19) ἀνυποστρέπτως RD(Q), ἀνεπιστρόφως C/ τὸ καθόλου D (21)a voce Δαρεῖος recensionem β sequitur γ / Δαρεῖος δὲ (ὁ δὲ Δαρεῖος CBL) φυγὰς γενόμενος ἦλθεν DCBL (22) καὶ ἀνοιμώξας D/ ἑαυτὸν RCBL, αὐτὸν D

ἐγενόμην ἔρημος· ἀληθῶς τὸ μέλλον οὐδεὶς ἀσφαλῶς βούλεται. ἡ γὰρ τύχη βραχεῖαν ἐὰν λάβῃ ῥοπήν,τοὺς ταπεινοὺς ὑπεράνω τῶν νεφελῶν ἀναβιβάζει καὶ τοὺς ἀπὸ ὕψους εἰς ζόφον κατάγει." ἔκειτο οὖν Δαρεῖος ἔρημος ἀνθρώπων,ὁ τοσούτων ἐθνῶν δεσπότης γενόμενος.

17

ὀλίγον οὖν ἀνανήψας καὶ εἰς ἑαυτὸν γενόμενος ἐτύπωσεν ἐπιστολὴν καὶ πέμπει 'Αλεξάνδρῳ περιέχουσαν οὕτως· Δαρεῖος 'Αλεξάνδρῳ τῷ ἐμῷ δεσπότῃ χαίρειν· ⟨ ⟩ ὁ τὸ φῶς μοι δείξας ὑπερφρονήσας μέγα ἔρωτα ἔσχεν εἰς τὴν 'Ελλάδα στρατεύεσθαι,ἄπληστος χρυσίου γενάμενος καὶ τῆς ἄλλης εὐδαιμονίας. τοίνυν,'Αλέξανδρε,σὺ κατανοήσας τὴν τύχην,οἴκτειρον ἡμᾶς πρὸς σὲ καταφεύγοντας προσδεεῖς καὶ τῆς ἄλλης ὑπαρχούσης ἡμῖν εὐγενείας ἀπὸ Περσῶν καὶ ἀπόδος μοι τὴν γυναῖκά μου καὶ τὴν μητέρα μου καὶ τὰ τέκνα μου μνησθεὶς τῶν πατρῴων ἐλπίδων. καὶ ἀντὶ τούτων ὑπισχνοῦμαί σοι διδόναι τοὺς θησαυροὺς τοὺς ἐν Μυσιάδι τῇ χώρᾳ καὶ ἐν Σούσοις καὶ Βάκτροις,οὓς οἱ πατέρες ἡμῶν παρέθεντο τῇ γῇ· ὑπισχνοῦμαι δέ σοι καὶ τὴν τῶν Περσῶν καὶ Μήδων καὶ τῶν ἄλλων ἐθνῶν χώραν κυριεύειν πάντα τὸν χρόνον. ἔρρωσο.

ταύτης δὲ τῆς ἐπιστολῆς γνοὺς 'Αλέξανδρος τὴν δύναμιν συνήθροισε πάντα τὸ στρατόπεδον αὐτοῦ καὶ μεγιστᾶνας καὶ ἐκέλευσεν ἀναγνωσθῆναι αὐτοῖς τὰ γράμματα Δαρείου.

(1) ἀληθῶς RDBL, ἀλλ' ἢ C/ βούλεται R, ἐπίσταται C, βουλεύεται οὐδ' ἐπιγινώσκει D (3) τοὺς ἀπὸ ὕψους RDBL, τοὺς ὑψηλοὺς C (4) ὁ Δαρεῖος C (5) ἐθνῶν βασιλέων τε καὶ τυράννων, πόλεων καὶ χωρῶν δεσπότης γενόμενος D (6) ἀνανήψας Δαρεῖος καὶ ἀναστὰς καὶ C(L)

(8) post χαίρειν perg. καὶ γὰρ καὶ Ξέρξης ὁ τὸ φῶς μοι δείξας ὑπερφρονήσας καὶ καταφρονήσας < πάντων ἀνθρώπων > μέγαν ἔρωτα ἔσχεν A(cf. Kroll) (9) ὑπερφρονήσαντι CD/ μέγαν ἔρωτα CL/ ἔσχεν RL, ἔσχον DC, εἶχεν B (10) στρατεύσασθαι CDBL/ ἄπληστος RCBL, ἀθεράπευτος D/ γενόμενος CD (11) εὐδαιμονίας τῆς ὑπαρχούσης ἡμῖν ἐκ πατέρων. ἀπέθανεν (cod.ἀπέθανον) οὖν τὸ πολὺ χρυσίον καὶ τὸ ἀργύριον καὶ πολλὰς σκηνὰς ἀπολέσας,ὑπὲρ Κροῖσον τὸν Λυδὸν <πλουτήσας A> καὶ τὸν ἐνεστῶτα θάνατον οὐκ ἐξέφυγεν (cod.ἐξέφυγον) C(BL) (12) τὴν τύχην καὶ τὴν νέμεσιν καὶ τὸ μέγα φρονεῖν εἰς οὐδὲν λελόγισαι· οἴκτειρον οὖν C (13) post προσδεεῖς add. μέμνησαι C, μέμνησο D/ ἡμῖν ὑπαρχούσης C (15) μου ante καὶ om. CBL (16) ὑπόσχομαι D, ὑπίσχνημι B/ σοι δοῦναι τοὺς ἐν Μυσίᾳ χώρᾳ καὶ Σούσαις καὶ ἐν Βάκτροις θησαυρούς D (17) Μυσιάδῃ RCL, Μυσίᾳ D, Μηδίᾳ B/ post Βάκτροις add. ὑπάρχοντας C (18) ὑπισχνοῦμαί δέ σοι RCL(B), σὺν τούτοις D/ τοῖς - - - χώρας C (20) χρόνον τῆς ζωῆς σου D (21) ταύτης δὲ ἐπιστολῆς τὴν δύναμιν καταλαβὼν 'Αλέξανδρος συνήθροισε D (22) πᾶν τὸ στρατόπεδον CD/ τοὺς μεγιστᾶνας CDB (23) ὑπαναγνωσθῆναι ἐνώπιον πάντων αὐτῶν D/ post Δαρείου perg.C καὶ ἀναγνωσθέντα εἶπέ τις τῶν στρατιωτῶν

ταύτης δὲ τῆς ἐπιστολῆς ὑπαναγνωσθείσης εἶπέ τις τῶν στρατηγῶν Παρμενίων ὀνόματι· "ἐγώ,βασιλεῦ Ἀλέξανδρε, ἐλάμβανον τὰ χρήματα καὶ τὴν χώραν τὴν δεδομένην σοι καὶ ἀπέδωκα ἂν Δαρείῳ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα αὐτοῦ,κοιμηθεὶς μετ'αὐτῶν." μειδιάσας Ἀλέξανδρος εἶπε πρὸς αὐτόν· "ἐγώ,Παρμένιε,πάντα λαμβάνω παρ'αὐτοῦ. ἐθαύμασα δέ,ὅτι Δαρεῖος διὰ χρημάτων ἀξιοῖ λυτρώσασθαι τοὺς ἰδίους,πολὺ μᾶλλον δέ,ὅτι καὶ τήν χώραν τὴν ἐμὴν ὑπισχνεῖταί μοι ἀποδοῦναι· ἀγνοεῖ δὲ τοῦτο Δαρεῖος,ὅτι εἰ μὴ νικήσει με μαχόμενος,ταῦτα πάντα ἐμά εἰσι σὺν τοῖς ἰδίοις αὐτοῦ· πλὴν αἰσχρόν ἐστιν ἡμᾶς ἄνδρας νικήσαντας ὑπὸ γυναικῶν ἡττηθῆναι.ἡμεῖς οὖν πρὸς ἐκεῖνον τὴν μάχην ὀτρύνωμεν περὶ τῶν ἡμετέρων. ἐγὼ γὰρ τὸ σύνολον τὴν Ἀσίαν οὐκ ἀνῆλθον,εἰ μὴ ὑπελάμβανον αὐτὴν ἐμὴν εἶναι· εἰ δὲ πρότερος αὐτῆς ἐκεῖνος ἦρχε,τοῦτο κερδαινέτω,διότι χώραν ἔχων ἀλλοτρίαν τοσοῦτον χρόνον οὐδὲν ἔπαθεν κακόν." καὶ ταῦτα εἰπὼν Ἀλέξανδρος ἐκέλευσεν τοῖς πρεσβευταῖς Δαρείου ταῦτα Δαρείῳ ἀπαγγεῖλαι.

κελεύει οὖν Ἀλέξανδρος τοὺς τραυματισθέντας ἐν τῷ πολέμῳ στρατιώτας θεραπεύεσθαι ἐν πάσῃ ἐπιμελείᾳ,τοὺς δὲ τελευτήσαντας κηδείας τυγχάνοντας θάπτεσθαι. προστάξας ἐμπυρίζεσθαι τὰ Ξέρξου βασίλεια ὄντα κάλλιστα κατὰ τὴν χώραν ἐκείνην,μικρὸν δὲ πάλιν μετανοήσας παύσασθαι αὐτοὺς ἐκέλευσεν.

(2) ἔγωγε D (5) μειδιάσας δὲ CBL/ μειδιάσας οὖν 'Αλέξανδρος ἐπὶ τῷ λόγῳ αὐτοῦ D
(6) ἐγὼ μὲν DBL (7) διὰ δώρων καὶ χρημάτων C
(8) πολὺ δὲ μᾶλλον CD (9) ἣ ἀγνοεῖ τοῦτο D/ Δαρεῖος ὁ βασιλεύς C (11) ἡμᾶς τοὺς ἄνδρας CD
(14) εἰς τὴν 'Ασίαν CDL/ μὴ om. R
(15) πρότερος RDL, πρότερον CB/ αὐτῆς ἐκεῖνος RDBL, αὐτὸς ἐκείνης C/ κερδαινέτω καὶ μόνον, ὡς ὅτι D
(17) 'Αλέξανδρος ὁ βασιλεὺς C
(18) τοῖς πρεσβευταῖς (τοὺς πρεσβευτὰς C) Δαρείου ἀπελθόντας CD(L)/ τῷ Δαρείῳ D, Δαρείῳ τῷ βασιλεῖ C
(19) καὶ τοὺς τραυματισθέντας στρατιώτας D
(20) ἐν ante πάσῃ om. CL
(21) τελευτήσαντας θάπτεσθαι ἐντίμως D/ post θάπτεσθαι perg. C μείνας οὖν ἐκεῖ τὸν χειμῶνα προσέταξεν / προστάξας οὖν D (22) καὶ τὰ Ξέρξου D
(23) κατανοήσας C

ἐθεάσατο δὲ καὶ τοὺς τῶν Περσῶν τάφους χρυσίῳ πολλῷ κεκοσμημένους· εἶδε δὲ καὶ τὸν Ναβουνασάρου τάφον,τοῦ κεκλημένου Ναβουχοδονόσορ ʽΕλ....η φωνῇ· παραπλήσιον δὲ ἐθεάσατο καὶ τὸν Κύρου τάφον. ἦν δὲ πύργος αἴθριος δωδεκάστεγος· ἐν δὲ τῇ ἄνω στέγῃ ἔκειτο ἐν χρυσῇ πυέλῃ καὶ ὕελος περιεκέχυτο,ὥστε τὸ τρίχωμα αὐτοῦ φαίνεσθαι καὶ αὐτὸν δὲ ὅλον διὰ τοῦ ὑέλου. ἐνταῦθα δὲ ἦσαν Ἕλληνες εἰς τὸν τάφον Ξέρξου λελωβημένοι οἱ μὲν πόδας,οἱ δὲ ῥῖνας,ἕτεροι δὲ τὰ ὦτα αὐτῶν,δεδεμένοι πέδαις καὶ ἡλωθέντες,ἄνδρες Ἀθηναῖοι· καὶ ἐξεβόησαν Ἀλεξάνδρῳ ὥστε σῶσαι αὐτούς. ὁ δὲ Ἀλέξανδρος ἰδὼν αὐτοὺς ἐδάκρυσεν· ἦν γὰρ ἡ θεωρία αὐτῶν δεινή· βαρέως οὖν ἤνεγκεν ἐπὶ τούτῳ καὶ προσέταξε λυθῆναι αὐτοὺς καὶ δοθῆναι αὐτοὺς διδράγματα χίλια καὶ ἀποκατασταθῆναι αὐτοῖς εἰς τὴν ἰδίαν ἑκάστῳ πατρίδα. οἱ δὲ λαβόντες τὸ ἀργύριον ἠξίωσαν τῷ Ἀλεξάνδρῳ χώραν αὐτοῖς ἀπομερισθῆναι ἐν τοῖς τόποις ἐκείνοις, εἰς δὲ τὰς πατρίδας αὐτῶν μὴ ἐκπεμφθῆναι,οὕτως διακειμένους ὄνειδος εἶναι τοῖς οἰκείοις. καὶ ἐκέλευσεν ἀπομερισθῆναι αὐτοῖς γῆν καὶ σίτων σπέρματα δοθῆναι αὐτοῖς καὶ βόας ἑκάστῳ ἓξ καὶ πρόβατα καὶ πάντα χρήσιμα εἰς γεωργίαν καὶ ἕτερον χρῆμα.

19

ὁ δὲ Δαρεῖος ηὐτρεπίζετο εἰς ἕτερον πόλεμον,γράφει δὲ καὶ Πώρῳ,βασιλεῖ Ἰνδῶν,οὕτως·

(1) ἐθεάσατο δὲ 'Αλέξανδρος C/ χρυσίῳ πλείστῳ D
(2) τὸν τοῦ Ναβουχοδονόσορος τάφον καὶ τὸν Ναβονασσάρου καλουμένου C (3) τοῦ ἐπικεκλημένου D/ 'Ελλα.... .ωνῆ D, 'Ελλαδικῆ φωνῆ L, κατὰ τὴν 'Ελλάδα φωνὴν B, om. C/ post .ωνῆ D et post καλουμένου C(BL) add. καὶ τὰ ἐκεῖσε(om.C) ἀναθήματα τῶν 'Ιουδαίων ἐκεῖ(om. D) κείμενα(κειμ....... φανως D) καὶ τοὺς κρατῆρας τοὺς χρυσοῦς ὡς ἡρώων εἶναι τὴν θέαν(τῇ θέᾳ D)
(4) τὸν τοῦ Κύρου τοῦ βασιλέως C/ ἦν δ' ἐκεῖσε D
(5) ἔκειτο οὗτος(αὐτὸς C) DC (6) περιεκέχυτο αὐτῷ CD (7) Ἕλληνες ἄνδρες CB, ἐνταῦθα ἦσαν Ἕλληνες κατακείμενοι εἰς τὸν τάφον D
(8) post πόδας add.οἱ δὲ χεῖρας D/ οἱ μὲν χεῖρας,οἱ δὲ πόδας,ἄλλοι δὲ ῥῖνας C
(9) post ὦτα αὐτῶν perg.D οἵτινες 'Αθηναῖοι δεδεμένοι πέδαις καὶ ἡλωθέντες ἐπεβόησαν πρὸς 'Αλέξανδρον
(10) καὶ om. C/ 'Αλεξάνδρῳ τῷ βασιλεῖ C
(13) λυθῆναι αὐτοὺς τῶν δεσμῶν C/ δοθῆναι αὐτοὺς BL, αὐτοῖς C, τούτους D (14) ἀποκαταστῆναι αὐτοὺς ἕκαστον εἰς τὴν ἰδίαν πατρίδα D
(15) τὰ ἀργύρια C/ ἠξίωσαν 'ΑλεξάνδρῳDB
(17) μὴ πεμφθῆναι C/ διακειμένους(-οις D) καὶ CD
(19) σίτων σπέρτα R, σῖτον καὶ σπέρματα DL, ἀπομερισθῆναι αὐτοῖς γῆν εἰς τρεῖς τόπους καὶ σπέρματα δοθῆναι C
(20) πάντα,ὅσα CDBL (21) ἕτερον χρῆμα ἱκανὸν D, ἕτερα χρήματα καὶ ἀπέστειλεν αὐτοὺς ἐκεῖ C
(22) ηὐτρεπίζετο καὶ αὖθις D/ πόλεμον συμβαλεῖν 'Αλεξάνδρῳ CDL, σὺν βασιλεῖ 'Αλεξάνδρῳ B
(23) πρὸς Πῶρον βασιλέα 'Ινδῶν ἐπιστολὴν περιέχουσαν οὑτωσὶ D, καὶ γράφει τῷ βασιλεῖ τῶν 'Ινδῶν Πώρῳ ἐπιστολὴν περιέχουσαν οὕτως C

βασιλεὺς Δαρεῖος βασιλεῖ 'Ινδῶν Πώρῳ χαίρειν· ⟨ ⟩ ἐπὶ τῇ γενομένῃ καταστροφῇ τοῦ οἴκου μου ἐν ταῖς ἡμέραις ταύταις,ἐπειδὴ ἐπιβὰς ὁ Μακεδὼν θηρὸς ἀγρίου τύχην ἔχων οὐ βούλεται τὴν μητέρα μου καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ἀποδοῦναι· ἐμοῦ δὲ ἐπαγγειλαμένου καὶ θησαυροὺς καὶ ἄλλα τινὰ πλείονα παρασχεῖν αὐτῷ οὐ πείθεται. ὅθεν οὖν βούλομαι ἐκπορθῆσαι αὐτὸν ἐφ' οἷς ἔπραξε,συνίστημι αὐτὸν ἕτερον πόλεμον,μέχρις ἂν ἀμύνω αὐτὸν καὶ τὸ ἔθνος αὐτοῦ. δίκαιον οὖν ἐστιν καὶ σὲ ἀγανακτῆσαι ἐφ' οἷς ἔπαθον καὶ ἐξελθεῖν σε ἐπὶ τῇ ἐμῇ ὕβρει,μνησθέντα σε τῶν γονικῶν ἡμῶν δικαίων. συνάθροισον οὖν πλεῖστα ἔθνη ἐπὶ τὰς Κασπικὰς πύλας και τοῖς συνερχομένοις ἀνδράσιν χορήγησον χρυσίον πολὺν καὶ σῖτον καὶ χορτάσματα. πάντων δέ σοι τὸ ἥμισυ τῶν λαφύρων,ὧν ἐὰν λάβω,τοῦτο χαρίσομαι καὶ τὸν λεγόμενον Βουκέφαλον ἵππον σὺν τοῖς βασιλικοῖς χωρίοις καὶ τῶν παλλακῶν αὐτῶν. δεξάμενος οὖν τὰ γράμματα ἡμῶν ἐν πολλῇ σπουδῇ συνάθροισον πλήθη καὶ ἀπόστειλον ἡμῖν. ἔρρωσο.

ὁ δὲ 'Αλέξανδρος μαθὼν ταῦτα ὑπό τινος τῶν Δαρείου προσφυγόντων πρὸς αὐτόν,εὐθέως ἀναλαβὼν ἅπασαν τὴν δύναμιν αὐτοῦ τὴν πορείαν ἐποιεῖτο ἐπὶ Μηδίαν. ἤκουσε δὲ Δαρεῖον εἶναι ἐν Βετάνοις ἐπὶ τὰς Κασπικὰς πύλας· καὶ σύντομον τὸν διωγμὸν ἐποίει καὶ εὐτολμότερον.

2o

ἔγνωσαν οὖν οἱ σατράπαι Δαρείου τὸν 'Αλέξανδρον ἐγγίζοντα,

(1) post χαίρειν perg. A ἔγραφα σοὶ συμπάσχειν ἐπὶ (2) γεγενομένῃ R (3) post ταύταις add. DCBL καὶ νῦν δηλῶ σοι/ καὶ νῦν δηλῶ σοι· ὁ τῶν Μακεδόνων τύραννος 'Αλέξανδρος κατασχὼν τοὺς ἐμούς, καθὼς ἀκήκοας, δέσποτα, ὃς καὶ θηρὸς ἀγρίου ὠμότητα ἔχων καὶ τύχης οὐρανίου ἐπιτυχὼν οὐ βούλεται D/ ἐπιβάς μοι CBL/ ὁ Μακεδὼν R^1, οἱ Μακεδόνες R^2, ὁ Μακεδὼν βασιλεὺς C (4) μου om. C (5) τέκνα μου C/ ἀποδοῦναί μοι CDBL (7) βουλόμενος CDB/ ἔπραξε εἰς ἐμὲ τὸν κύριον αὐτοῦ D/ συνίστημι αὐτῷ καὶ CD (8) ἄχρις D/ ἀμύνωμαι τελείως C, ἀμύνωμαι τὸν ἐχθρόν μου D (1o) post ὕβρει perg. D ἀναμιμνησκόμενόν σε εἰ μή τί γε ἄλλο κἂν αὐτῶν γε τῶν γονικῶν δικαίων ἡμῶν (11) δικαίων RDBL, γονέων C (12) χορηγήσειν C lectio incerta (13) καὶ σίτων χορτάσματα πλεῖστα C/ post χορτάσματα perg. D ἐκ πάντων δὲ τῶν λαφύρων, ὧνπερ ἐκ τῶν πολεμίων λάβω, τὰ ἡμίσεα τούτων παρασχῶ τῷ κράτει σου καὶ αὐτόν γε τὸν λεγόμενον κτλ. (14) τῶν ἥμισυ R/ ὧν ἂν ἐκ τῶν πολεμίων ἡμῶν λάβω, χαρίσομαι ἀλλὰ δὴ καὶ τὸν λεγόμενον Βουκέφαλον ἵππον, ὃν ἔχει 'Αλέξανδρος C (16) τὰς παλλακὰς αὐτοῦ C (17) ἄθροισον CDBL (18) ὑμῖν R (19) ταῦτα μαθὼν D/ τῶν τοῦ Δαρείου προσφυγόντων αὐτῷ C (2o) πᾶσαν τὴν δύναμιν CD (22) Βατάνοις CDBL (23) αὐτὸς ἐποίει μετὰ τῶν στρατευμάτων αὐτοῦ καὶ εὐτολμότερον C (24) D deest usque ad p.2o2,16 ἐν ταύτῃ οἱ δὲ σατράπαι Δαρείου ἔγνωσαν C

ὅ τε Βῆσσος καὶ ᾿Αριβαρζάν,καὶ παρατραπέντες οὗτοι τὰς φρενοβλαβεῖς γνώμας ἐβουλεύσαντο Δαρεῖον ἀναιρῆσαι· ἔλεγον πρὸς ἀλλήλους,ὅτι ἐὰν ἀνέλωμεν Δαρεῖον,ληψόμεθα παρὰ ᾿Αλεξάνδρου χρήματα πολλά,ὡς ἀναιρήσαντες τὸν ἐχθρὸν αὐτοῦ. οὕτως οὖν κακῶς βουλευσάμενοι εἰσέρχονται λάθρᾳ ξιφήρεις Δαρείῳ. ὡς δὲ εἶδεν τούτους Δαρεῖος ὁρμήσαντας αὐτῷ ξιφήρεις,εἶπεν αὐτοῖς· "ὦ ἐμοὶ δεσπόται οἱ πρίν μου δοῦλοι,τί ὑμᾶς ἠδίκησα καὶ ὑμεῖς ἀναιρεῖτε με βαρβάρῳ τολμήματι; μὴ πλέον ὑμεῖς Μακεδόνων τι δράσετε; ἐάσατέ με οὕτως ἐπὶ τὰ μέλαθρα ῥιφέντα ἀναστενάζειν τὴν ἀνωμαλῆ τύχην· ἐὰν γὰρ νῦν ἐλθὼν ᾿Αλέξανδρος,ὁ Μακεδόνων βασιλεύς, εὑρήσει με σφαγέντα,βασιλεὺς βασιλέως ἐκδικήσει τὸ αἷμα." οἱ δὲ μηδαμῶς πεισθέντες ταῖς ἱκεσίαις Δαρείου φόνοις αὐτὸν ἀμύνοντο.

οἱ οὖν Μακεδόνες τὸν Ἀρσινόην παγέντα εὑρόντες διεπέρασαν· καὶ εἰσῆλθεν ᾿Αλέξανδρος εἰς τὰ βασίλεια Δαρείου. οἱ οὖν δυσσεβεῖς μαθόντες τὴν εἴσοδον ᾿Αλεξάνδρου ἔφυγον καταλείψαντες Δαρεῖον ἡμίπνουν. καὶ εἰσελθὼν πρῶτος ᾿Αλέξανδρος καὶ εὑρὼν αὐτὸν ἡμίπνουν,ἐκκεχυμένον ξίφει τούτου τὸ αἷμα, ἀνοιμώξας αὐτῷ θρῆνον ἄξιον λύπης δάκρυα ἐξέχεεν ἐπ' αὐτῷ καὶ τῇ χλαμύδι αὐτοῦ ἐσκέπασε τὸ σῶμα Δαρείου,τὰς χεῖρας δὲ ἐπιθεὶς ἐπὶ τὸ Δαρείου στῆθος ἐλέους γέμοντας λόγους ἐπ'αὐτῷ ἔλεγεν· "ἀνάστα,βασιλεῦ Δαρεῖε,καὶ τῆς σῆς γῆς βασίλευε και τῶν σεαυτοῦ δεσπότης γενοῦ· δέξαι σου τὸ διάδημα,τοῦ Περσικοῦ πλήθους ἀνάσσων· ἔχε σου τὸ μέγεθος τῆς τυραννίδος· ὀμνύω τὴν ἄνω πρόνοιαν, ὡς ἀληθῶς καὶ οὐ πεπλασμένως φράζω σοι. τίνες δέ εἰσιν

(1) ὁ Ἀριοβαρζάν C, Ἀριοβαρζάνης L (2) λέγοντες CB (5) ὑπεισέρχονται C

(6) ξιφήρεις Δαρείῳ τῷ βασιλεῖ· ὡς δὲ ἦσαν ἐγγὺς αὐτοῦ καὶ θεασάμενος τούτους Δαρεῖος C

(7) οἱ ἐμοὶ C (9) μή om. C

(11) νῦν om. C (13) μὴ πεισθέντες C

(14) post ἀμύνοντο add. C (BL) ὁ δὲ Δαρεῖος αὐτὸς ταῖς δυσὶ χερσὶν ἐπάλαιεν αὐτούς· τὸν μὲν Βῆσσον τῇ εὐωνύμῳ χειρὶ εἰς τὴν γῆν κατασχὼν καὶ τῷ εὐωνύμῳ γόνει εἰς τὸν βουβῶνα αὐτοῦ ὑποκλίνας ἐκράτει, τὸν δὲ Ἀριοβαρζὰν τῇ δεξιᾷ χειρὶ ἐπισχὼν ἐκράτει τοῦ μὴ ἐπιφέρειν αὐτῷ τὸ ξίφος· λόγχαι (conicias λοξαὶ) δὲ αὐτῶν ἦσαν αἱ πληγαί· μὴ ἰσχυόντων δὲ αὐτῶν ἀναιρῆσαι ἐπάλαιον μετ' αὐτοῦ· ἦν γὰρ σθεναρός.

(15) τὸν Ἀρσινόην τὸν καὶ Στράγγαν λεγόμενον C

(16) post Δαρείου perg. C ὡς δὲ ἤκουσαν Ἀλέξανδρον ἐγγίσαντα οἱ φονεῖς Δαρείου ἀφέντες τὸν Δαρεῖον ἡμίπνουν ἔφυγον καὶ εἰσελθὼν πρῶτος

(19) τὸ τούτου αἷμα C (20) αὐτῷ om. C

(22) δὲ om. C/ τὸ τούτου στῆθος C

(26) ὄμνυμί σοι CBL

οἱ πλήξαντές σε; μήνυσόν μοι αὐτούς, ἵνα σε θεραπεύσω." καὶ ταῦτα εἰπόντος τοῦ 'Αλεξάνδρου στενάξας Δαρεῖος καὶ τὰς χεῖρας ἐκτείνας ἐπεσπάσατο τὸν 'Αλέξανδρον καὶ περιπλακεὶς αὐτῷ εἶπεν· "'Αλέξανδρε βασιλεῦ, μήποτε ἐπαρθῇς τῇ τυραννικῇ δόξῃ, ὁπόταν ἔργον ἰσόθεον κατορθώσῃς καὶ χερσὶ ταῖς σαῖς οὔρανον θέλῃς φθάσαι· ἀλλὰ σκόπει τὸ μέλλον· ἡ τύχη γὰρ οὐκ οἶδε βασιλέα οὔτε μὴν πλήθη ἔχοντα, ἀκρίτῳ δὲ γνώμῃ πανταχόθεν ῥέμβεται. ὁρᾷς, τίς ἤμην καὶ τίς γέγονα. ἀποθνησκόντος μου, 'Αλέξανδρε, ταῖς σαῖς χερσὶ θάψον με. κηδευσάτωσάν με Μακεδόνες καὶ Πέρσαι. ἐγώ εἰμι, 'Αλέξανδρε, ὁ σύμπασαν δοκῶν κυριεύειν γαῖαν, νυνὶ δέ, ὡς ὁρᾷς γυμνὸς εἰς γαῖαν ἔρριμμαι ὁ ποτὲ ὑπὸ μυριάδων δορυφορούμενος καὶ οἷος θεὸς δοξαζόμενος, ἀπροστάτευτος μόνος καταλέλειμμαι. μνήσθητι, 'Αλέξανδρε, οἵας δόξης ἄφνω ἐξέπεσα, σὺ αὐτόπτης γενόμενος· καὶ μὴ ἐάσῃς ὅλως ἐν ταύτῃ τῇ ταλαιπωρίᾳ τελευτῆσαί με· ἐπίσταμαι γὰρ σπλάγχνα ἔχειν σε· Ἕλλην γὰρ εἶ σὺ καὶ οὐχ ὠμὸς Πέρσης."

προστάσσει οὖν 'Αλέξανδρος καὶ φέρουσι τὴν γυναῖκα Δαρείου καὶ τὴν θυγατέρα καὶ τὴν μητέρα αὐτοῦ. ὡς δὲ εἶδεν Δαρεῖος, εὐθὺς ἀπόλωλεν, ἐκτείνας δὲ τὴν χεῖρα αὐτοῦ καὶ τὴν θυγατέρα κρατήσας εἶπεν· "ταύτην, ὦ 'Αλέξανδρε, δέχου ὡς δῶρον· ἔσται δέ σοι εἰς δούλην σὺν τῇ μητρί· μία γενέσθω Δαρείῳ ἡ συγγένεια Δαρείῳ καὶ 'Αλεξάνδρῳ. τὴν δὲ ἐμὲ τεκοῦσαν ἀνατίθημί σοι, καὶ τὴν γυναῖκά μου ὡς ἐμὲ οἴκτειρον." καὶ ταῦτα εἰπὼν Δαρεῖος ἐξέπνευσεν

(1) παίσαντες C/ νῦν θεραπεύσω C (2) τοῦ βασιλέως 'Αλεξάνδρου· ἀκούσας Δαρεῖος ἐστέναξε μεγάλως καὶ τὰς χεῖρας ἐκτείνας περιεπλάκη τὸν 'Αλέξανδρον καὶ ἠσπάσατο αὐτὸν καὶ εἶπεν αὐτῷ C

(5) ἰσόθεον κατορθώσῃς ἔργον C (6) φθάσαι RCBL, ψαῦσαι Meusel (7) πλῆθος CBL/ ἔχοντα del. Meusel

(11) ἐγώ - 23 σὺν τῇ μητρὶ om. BL, recensionem ε, at tantum partim, sequitur γ. (12) ἔρριμμαι C, ἔρριμαι R

(13) οἷα CQ (16) ἐν ταύτῃ reincipit D

(18) post Πέρσης add. ὡς οἱ παρ' ἡμῶν C

(19) φέρουσι τὴν μητέρα Δαρείου καὶ τὴν γυναῖκα καὶ τὴν θυγατέρα αὐτοῦ 'Ρωξάνην CQ

(20) post εἶδεν add. ταύτας D, αὐτάς C

(21) εὐθὺς ἀπόλωλεν RCQ, παρευθὺς ἐθαύμασεν D/ post ἀπόλωλεν perg. C καὶ ἀφασίᾳ συσχεθεὶς καὶ δακρύων πληρωθεὶς ὅλως καὶ σφόδρα τὴν καρδίαν πονήσας καὶ τὴν ψυχὴν λίαν λυπηθεὶς ὑπὲρ τὸ δέον ἐν πολλῇ ταπεινώσει καὶ ἀτενίσας ὀφθαλμοὺς δακρύων πλήρεις μόλις κινηθεὶς λόγον ἐφθέγξατο πρὸς 'Αλέξανδρον "εὐχαριστῶ σοι, ὦ βασιλεῦ 'Αλέξανδρε" καὶ περιπλακεὶς πάντας λύπης ἀξίας ἐκίνησε. μὴ δυνάμενοι οὖν στῆσαι δακρύων τοὺς σταλαγμοὺς πάντες τῆς ἑαυτῶν δόξης ἐταλάνισαν καὶ τελευταῖον ἀσπασμὸν πρὸς αὐτὸν ἐχόρτασαν. καὶ ἀναψυχὴν λαβὼν Δαρεῖος καὶ καρδίας θεραπείαν καὶ ἐκτείνας τὴν χεῖρα κτλ.

(22) εἶπεν πρὸς 'Αλέξανδρον D/ 'Αλέξανδρε βασιλεῦ C

(23) εἰς δούλην RD, ὡς δούλη CQ

(24) recensionem β sequitur γ.

Δαρείῳ om. post γενέσθω C et post συγγένεια D

(25) τὴν δὲ ἐμὲ τεκοῦσαν ὡς σὲ τεκοῦσαν D, τὴν δὲ μητέρα μου ὡς σὲ τεκοῦσαν C (26) post οἴκτειρον add. C τὴν δὲ θυγατέρα μου 'Ρωξάνην δίδωμί σοι γυναῖκα καὶ συναφθήσῃ ἐπ' ἀγαθοῖς καιροῖς καὶ ἐπὶ μνείαις λήψῃ τέκνα, οἷς καὶ ὑμεῖς καυχώμενοι ὡς ὑμῶν τέκνοις, σὺ μὲν ἐπὶ Φιλίππῳ βασιλεῖ, 'Ρωξάνη δὲ ἐπὶ Δαρείῳ μνήμην ἐπιτελεῖτε, συνγηροῦντες εἰς χρόνους· καὶ ταῦτα εἰπὼν κτλ.

τὸ πνεῦμα αὐτοῦ παραθεὶς ταῖς χερσὶν 'Αλεξάνδρου.

21

ὁ δὲ 'Αλέξανδρος συμπαθῶς κλαύσας τὸν Δαρεῖον ἐκέλευσε τὸ σῶμα αὐτοῦ βαστάζεσθαι, θάψαι δὲ αὐτῷ Περσικῷ νόμῳ ὡς βασιλέα· κελεύει δὲ πρώτους Πέρσας προάγειν, Μακεδόνας ὄπισθεν ἐνόπλους. αὐτὸς δὲ 'Αλέξανδρος ὑποθεὶς τὸν ὦμον αὐτοῦ ἐβάστασε μετὰ τῶν σατραπῶν τὸ σῶμα Δαρείου. οὐ τοσοῦτον δὲ ἔστενον οἱ ἐπακολουθοῦντες ἐπὶ Δαρείου ὅσον ἐπὶ 'Αλεξάνδρῳ βαστάζοντι. ἀποθεὶς δὲ 'Αλέξανδρος ἐπὶ τὸν τάφον Δαρεῖον τὸν βασιλέα, βουθυτήσας ἐκεῖ, μνήμην ἐποίει τῷ Δαρείῳ.

καὶ νόμους ἔθετο κατὰ πόλιν, ἅμα δὲ καὶ προστάγματα περιέχοντα οὕτως·

βασιλεὺς 'Αλέξανδρος, υἱὸς Φιλίππου βασιλέως καὶ βασιλίσσης 'Ολυμπιάδος τοῖς κατὰ τὴν Περσίδα πᾶσαν, ἔν τε ταῖς πόλεσι καὶ χώραις τάδε κελεύω· εὐκτὸν μὲν ἦν μοι τὰς τοσαύτας μυριάδας ἀνθρώπων μὴ ἀπολέσθαι κακῶς· εἰ δὲ εὐδαιμονία ποιεῖ με κατὰ Περσῶν νικηφόρον, καὶ ὑπὲρ τούτων εὐχαριστῶ τῇ προνοίᾳ. γινώσκετε δέ, ὅτι καθιστῶ ὑμῖν σατράπας, οἷς ὀφείλετε ὑπακούειν ὡς ὑπὸ Δαρείου καὶ τοῖς ὑπ' αὐτὸν κατεχομένοις πᾶσιν. μὴ ἴδητε ἕτερον βασιλέα, εἰ μὴ 'Αλέξανδρον· χρῆσθε δὲ τοῖς ἰδίοις ἔθεσι καὶ συνηθείαις καὶ ἑορταῖς καὶ πανηγύρεσιν καὶ εὐωχίαις καὶ βουθυσίαις, καθάπερ ἐπὶ Δαρείῳ. ἕκαστος δὲ τῇ ἰδίᾳ μονῇ βιώτω· ἐὰν δὲ Πέρσης καταλείψῃ τὴν ἰδίαν πόλιν ἢ χώραν ἢ τόπον φύγῃ καὶ εἰς ἀλλοδαπὴν κατοίκησιν ἀπέλθῃ, ὡς ἀποστάτης κολαζέσθω. τὰ δὲ ὑπάρχοντα ὑμῖν συγχωρῶ ἕκαστον κυριεύειν τῶν ἰδίων πλὴν χρυσίου καὶ ἀργυρίου·

(1) 'Αλεξάνδρου τοῦ νικηφόρου βασιλέως D

(3) βαστάζεσθαι παρ'αὐτοῦ D/ καὶ θάψαι C/ αὐτῷ R, αὐτὸν CDB (4) διάγειν C/ Μακεδόνας δὲ CD

(7) ἐπακολουθοῦντες (ἐπακολουθήσαντες D) ὁρᾶν ἐπὶ Δαρείῳ CDB, ἔκλαιον δὲ πάντες καὶ ἐθρήνουν, οὐ τοσοῦτον ἐπὶ Δαρείῳ ὅσον ἐπὶ 'Αλεξάνδρῳ, ὁρῶντες αὐτὸν βαστάζοντα τὴν κλίνην L (9) καὶ βουθυτήσας ἐκεῖσε D

(1o) ἐποίησε Δαρείῳ CB (11) κατὰ πᾶσαν πόλιν C

(13) καὶ μητρὸς 'Ολυμπιάδος βασιλίσσης D

(14) ταῖς om. CL (15) εὐκτὸν RDB, καλὸν C

(16) κακῶς μὴ ἀπολέσθαι C/ εἰ γάρ με ποιεῖ ἡ εὐδαιμονία D

(17) τούτων malim : τοῦτον R/ καὶ ὑπὲρ τούτων om. CB

(18) ὅτιπερ D (19) οἷς DCBL : οἵους R (i.e. οἷς vel οὓς)/ ὑπό: ἐπί A (2o) τῶν ὑπ' αὐτὸν κατεχόμενοι omisso πᾶσιν C/ ἴδητε δὲ C

(21) 'Αλέξανδρον μόνον CDB (23) καθάπερ καὶ CDB/ ἐπὶ Δαρείου C/ ἕκαστος δὲ (om. DB) ὑμῶν CDBL

(24) καταλείψας CBL (25) φύγῃ καὶ om. C

(26) ἀποστάτης καὶ ἀλλότριος D

τὸν γὰρ χρυσὸν καὶ τὸν ἄργυρον κελεύω ἀναφέρεσθαι τοῖς κατὰ πόλιν καὶ χώραν ἡμετέροις ὅροις· νομὰς δὲ ὅσας ἔχετε συγχωροῦμεν ἑκάστῳ χρᾶσθαι· πᾶν δὲ ἀμυντήριον ὅπλον κελεύω ἀναφέρεσθαι εἰς τὰς ἀποδεδειγμένας ὁπλοθήκας. οἱ δὲ σατράπαι μενέτωσαν ἐν τῇ αὐτῶν τάξει, ἔθνος δὲ ἔθνει οὐκ ἐπιβήσεται εἰ μὴ ἐμπορίας χάριν, καὶ ταῦτα δὲ ἕως εἴκοσιν ἀνδρῶν μέγιστον· κἀγὼ τὸ μέρος λήψομαι κατὰ τοὺς νόμους ὑμῶν, ὡς ἐπὶ Δαρείου. βούλομαι δὲ τὰς χώρας ὑμῶν ἐν εὐθηνίᾳ καταστῆσαι, τὰς δὲ ὁδοὺς Περσίας ἐμπορεύεσθαι καὶ πραγματεύεσθαι μετὰ πάσης εὐσταθείας, ὅπως οἱ ἀπὸ τῆς Ἑλλάδος ἐμπορεύωνται πρὸς ὑμᾶς· ἀπὸ γὰρ τοῦ Εὐφράτου ποταμοῦ καὶ τῆς διαβάσεως τῆς ἐπὶ τὸν Τίγριν ποταμὸν ἕως Μηδίας Βαβυλῶνος ὁδοποιήσω καὶ σημεῖα ποιήσω, ὅπου ἡ ὁδὸς φέρει· καὶ τοῦτο δῆλον ἔστω ἐν ταῖς ὁδοῖς. Δαρεῖον δὲ ἐγὼ οὐκ ἀνεῖλον, τίνες δέ εἰσιν, ἀγνοῶ, οἷς ὀφείλω σατραπείας, ἃς ἂν βούλωνται, χαρίσασθαι καὶ χώρας αὐτοῖ μεγίστας ἀποδοῦναι, ὅτι τὸν ἐμὸν ἐχθρὸν ἀνεῖλον."

καὶ ταῦτα εἰπόντος τοῦ Ἀλεξάνδρου τὸ Περσικὸν πλῆθος ἐταράχθη ὡς μέλλοντος Ἀλεξάνδρου τὴν γῆν Περσίδα κατασκάπτειν . γνοὺς δὲ Ἀλέξανδρος τοῦ πλήθους τὴν λύπην εἶπε πρὸς αὐτούς· "τί ὑπονοεῖτε, ὦ Πέρσαι; ὡς μέλλοντός μου καταλιπεῖν ὑμᾶς ἀδόξους καὶ ἀσήμους, ὅτι τοὺς ἀνελόντας Δαρεῖον ἐγὼ ἐπιζητῶ; εἰ γὰρ ἔζη Δαρεῖος, πάλιν ἐπεστράτευέ μοι πόλεμον· νυνὶ δὲ πᾶς πόλεμος πέπαυται. εἴτε οὖν Μακεδόνων ἐστὶν ὁ ἀναιρήσας Δαρεῖον, προσερχέσθ ἡμῖν θαρρῶν καὶ λαμβανέτω εἰς ἀριστείαν, ὃ ἐὰν αἰτήσηται παρ' ἡμῶν· εἰ δὲ καὶ Περσῶν τις ἄλλος τυγχάνει, μὴ παρα-

(1) τὸν δὲ χρυσὸν γὰρ καὶ ἄργυρον C

(2) κατὰ χώραν καὶ πόλιν D/ ὅροις: ἐφόροις Mueller

(3) τῶν ἰδίων χρᾶσθαι CBL

(8) ὑμῶν post νόμους om. C (9) Περσίδος CDB

(12) καὶ τῆς ἐπὶ τὸν Τίγριν ποταμὸν διαβάσεως D

(13) καὶ σημεῖα ποιήσω om. C

(15) τίνες δέ εἰσιν οἱ τοῦτον ἀναιρήσαντες D

(16) σατράπας R/ ἄν om.C/ βούλοιντο D

(17) ὅτι γε D (19) τοῦ (om. C) 'Αλεξάνδρου CD, Ἀλέξανδρον R/ γῆν om. CDBL/ κατασκάπτειν CDBL, κατασκοπεῖν R (22) ὅτιπερ D

(26) ἡμῖν CD, ὑμῖν R (27) παρ' ἡμῖν C

βήτω· ὄμνυμι γὰρ τὴν πρόνοιαν καὶ τῆς μητρός μου 'Ολυμπιάδος σωτηρίαν,ὡς ἐπισήμους καὶ περιφανεῖς πᾶσιν ἀνθρώποις ποιήσω." καὶ οὕτως ὀμόσαντος 'Αλεξάνδρου καὶ τὸ πλῆθος ἐδάκρυσεν. οἱ δὲ κάκιστοι οἱ ἀνελόντες Δαρεῖον,ὅ τε Βῆσσος καὶ ὁ 'Αριβαρζάν,ὡς ληψόμενοι μέγα δῶρον παρὰ 'Αλεξάνδρου αὐτομάτως προσῆλθον αὐτῷ λέγοντες· "δέσποτα 'Αλέξανδρε βασιλεῦ,ἡμεῖς ἐσμεν οἱ Δαρεῖον ἀναιρήσαντες τὸν ἐχθρόν σου τυγχάνοντα." ἀκούσας δὲ ταῦτα 'Αλέξανδρος ἐκέλευσεν αὐτοὺς συλληφθῆναι καὶ ἐπὶ τὸν τάφον Δαρείου ἀνασταυρωθῆναι.τῶν δὲ βοώντων καὶ λεγόντων· "οὐκ ὤμοσας ἡμῖν,ὅτι τοὺς ἀναιρήσαντας Δαρεῖον περιφανεῖς καὶ ἐπισήμους ποιήσω; καὶ πῶς νῦν κελεύεις ἀνασταυρωθῆναι ἡμᾶς, παραβὰς τοὺς ὅρκους,οὓς ἐποιήσω;" καὶ λέγει αὐτοὺς 'Αλέξανδρος· "οὐχ ὑμῶν ἕνεκα ἀπολογοῦμαι,ὦ κάκιστοι,ἀλλ' ἕνεκα τοῦ πλήθους τῶν στρατευμάτων. ἄνδρες Πέρσαι,οὐκ ἄλλως ἦν οὕτως ῥαδίως εὑρεῖν καὶ ἐμφανεῖς αὐτοὺς ποιῆσαι πᾶσιν, ἐὰν μὴ πρὸς ὀλίγον ἠπείλησα τὸν Δαρείου θάνατον· τοῦτο γὰρ ἦν μοι εὐκταῖον,τὸ τοὺς ἐκεῖνον ἀναιρήσαντας μεγίστῃ τιμωρίᾳ παραδοθῆναι · εἰ γὰρ τὸν ἴδιον δεσπότην ἀναιρήσαντες,πολλῷ μᾶλλον ἐτόλμων καὶ εἰς ἐμὲ φθάσαι. εἰς ὑμᾶς μέν,ὦ κάκιστοι,οὐκ ἐπιώρκησα· ὤμοσα γάρ,περιφανεῖς καὶ διασήμους ὑμᾶς ποιήσω,τούτεστιν ἀνασταυρωθῆναι,ἵνα πάντες ὑμᾶς θεωροῦσι." καὶ οὕτως εἰπόντος τοῦ 'Αλεξάνδρου ἐπευφήμησαν αὐτῷ πάντες·καὶ οἱ μὲν κάκιστοι φονεῖς ἀνασταυροῦνται ἐπὶ τῷ ταφίῳ Δαρείου.

(1) μὴ παραβήτω: μὴ φοβείσθω A/ καὶ τὴν τῆς μητρός C (2) περιφανεῖς αὐτοὺς CD (3) εἰκόντος τοῦ 'Αλεξάνδρου C/ τὸ μὲν πλῆθος D (5) 'Αριοβαρζάν CD (7) βασιλεῦ om. CB (8) τὸν om. CDB/ ἀκούσας δὲ παρ'αὐτῶν CDB/ ὁ 'Αλέξανδρος D (9) παραυτίκα συλληφθῆναι D (13) αὐτοῖς CDBL (15) post στρατευμάτων add. C καὶ στραφεὶς πρὸς τοὺς παῖδας ἔφη/ ἣν μοι C (17) ἐὰν RCB, εἰ D/ ἠπείλησα: ἐπῄνεσα A (18) ἀναιρήσοντας CD (19) εἰ γὰρ RA, οἱ γὰρ CDBL (20) εἰς ὑμᾶς δὲ C (22) ἐπισήμους CBL/ ποιῆσαι CDBL (23) θεωροῦσι R, θεωρήσωσι DL, θεωρῶσι C (24) ἐπευφήμουν D/ αὐτὸν CDBL/ ἅπαντες D/ κάκιστοι ἐκεῖνοι D (25) τάφῳ CDL

22

ἀποκαταστήσας δὲ Ἀλέξανδρος ἐν εἰρήνῃ τὴν πόλιν εἶπεν αὐτοῖς· "τίνα θέλετε σατράπην εἶναι τῆς πόλεως ὑμῶν;" οἱ δὲ εἶπον Ἀδουλήτην τὸν τοῦ Δαρείου πατράδελφον. καὶ συνεχώρησεν Ἀλέξανδρος τοῦτον γενέσθαι.

γράφει δὲ πρὸς τὴν μητέρα Δαρείου καὶ τὴν γυναῖκα καὶ τὴν θυγατέρα οὕτως·

βασιλεὺς Ἀλέξανδρος Στατείρᾳ καὶ Ῥοδῷ καὶ Ῥωξάνῃ τῇ ἐμῇ γυναικὶ χαίρειν. ἀντιταξάμενον ἡμῖν Δαρεῖον οὐκ ἠμυνάμεθα, εἰ μὴ τοὐναντίον, ηὐχόμην γὰρ ἐγὼ ζῶντα ὑπὸ τὰ ἐμὰ σκῆπτρα ἔχειν· ἐλαχίστως δὲ ἔχοντος ἐπὶ τῷ πνεύματι αὐτοῦ τοῦτον κατέλαβον ἐν τῇ ἐσχάτῃ ἀναπνοῇ, ὃν ἐλεήσας τῇ ἐμαυτοῦ χλαμύδι περιέστειλα. ἐπυθόμην δὲ παρ' αὐτοῦ τι ἀκοῦσαι περὶ τῆς ἀπωλείας αὐτοῦ. ὁ δέ μοι εἶπεν· "παρακαταθήκην ἔχε τὴν ἐμὴν θυγατέρα Ῥωξάνην καὶ συμβιώσει σοι." περὶ δὲ τῶν εἰς αὐτὸν γενομένων οὐκ ἔφθασεν ὁμιλῆσαί μοι. τοὺς μὲν αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἠμυνάμην ἀξιοπρεπῶς· οἴομαι δὲ ἀκηκοέναι τὴν ἀγγελίαν αὐτῶν. προσέταξα δὲ ἡρῷον αὐτῷ γενέσθαι παρὰ τοὺς πατρῴους αὐτῷ ἥρωας· καὶ ὑμεῖς δὲ τῆς λύπης αὐτοῦ παύσασθε· ἐγὼ γὰρ ὑμᾶς ἀποκαταστήσω εἰς τὰ ἴδια βασίλεια, ἐπὶ δὲ τοῦ παρόντος διατρίψατε, ἐφ' ᾧ τόπῳ ἐστέ, μέχρις ἂν καὶ τὰ ἐνθάδε καταστήσω πράγματα. κατὰ γοῦν τὰς διατάξεις Δαρείου Ῥωξάνην τὴν ἐμὴν γυναῖκα σύνθρονόν μου εἶναι βούλομαι, ἐὰν δὲ καὶ ὑμεῖς μοι συμπνεύσητε, προσκυνεῖσθαι αὐτὴν ὡς Ἀλεξάνδρου γυναῖκα βούλομαι καὶ κελεύω. ἔρρωσθε.

δεξάμεναι δὲ τὰ γράμματα Ἀλεξάνδρου ἀντέγραψαν αὐτῷ

(1) ὁ 'Αλέξανδρος C (2) βούλεσθε CDBL
(3) ἔφησαν C/ 'Αδουλήτην R, 'Αδουλίτην CDA, Λίτην BL
(4) τοῦτο CB/ γενέσθαι σατράπην Περσίδος ὡς νουνεχῆ ὄντα καὶ ἀλκιμώτατον D
(5) γράφει δὲ πρός τε τὴν D, μετὰ δὲ ταῦτα 'Αλέξανδρος γράφει πρὸς τὴν γυναῖκα καὶ πρὸς τὴν θυγατέρα αὐτοῦ C (8) ἀντιταξάμενον ἡμῖν DCB, ἀντιταξάμενοι ὑμῖν R, ἀντιταξάμενοι Δαρείῳ L (9) ἀλλὰ μᾶλλον τοὐναντίον C/ γὰρ om. CL/ ἔγωγε D/ ζῶντα αὐτὸν CBL, ζῶντα τοῦτον D
(1o) ἔχοντος RCB, ἔχοντι D (11) ἐν ἐσχάτῃ CD/ ἐλεήσας ὡς μέγιστον αὐτοκράτορα D/ τῇ ἐμῇ χλαμύδι CBL
(12) ἐπόθουν δέ τι ἀκοῦσαι παρ'αὐτοῦ C
(13) καὶ οὐδέν μοι εἶπεν πλὴν B
(14) 'Ρωξάνην γυναῖκα C, 'Ρωξάνην,ἥτις καὶ D
(15) εὔθασεν R (16) τοὺς μὲν οὖν CDBL
(17) ἀκηκοέναι ὑμῖν D, καὶ ὑμᾶς C/ ἡρῷον RD, καὶ μνημεῖον C (2o) παρόντος καιροῦ D
(21) καὶ εὖ τὰ ἐνθάδε C lectio incerta
(23) ἐὰν οὖν C (24) αὐτὴν παρὰ πάντων D
(25) κελεύω - 26 ἀντέγραψαν e C sumpsi,κελεύω ....γραψαν R,τοῦτο γοῦν βούλομαι κτὶ κελεύω καὶ προστάσσω,ὡς εἶναι ταύτην βασιλίσσαν· ἔρρωσθε αἱ ἐμοὶ πεφιλημέναι βασιλίσσαι. δεξάμεναι δὲ τὰ γράμματα 'Αλεξάνδρου ἀντέγραψαν D

Ἀλεξάνδρῳ βασιλεῖ χαίρειν· ηὐξάμεθα ἂν τοῖς κλίνασι τὸ Δαρείου ὄνομα καὶ τῶν Περσῶν καύχημα αἰώνιόν σε καταστῆσαι τῆς οἰκουμένης βασιλέα λογισμῷ ὑπερέχοντα, φρονήσει καὶ δυνάμει. οἴδαμεν δὲ ὑπὸ τὰς σὰς ἀγκάλας οὖσαι, ὅτι καλῶς ζῶμεν· ἐπευχόμεθά σοι κάλλιστα παρὰ σεαυτῷ καὶ τῶν καλλίστων τῆς οἰκουμένης δεσπόζειν ἀναριθμήτοις χρόνοις, ὅτι οὐχ ὡς αἰχμαλώτους προσέρχῃ πεπτωκυίας ὑπὸ τὰς σὰς κάμπτρας· ἐλέγχῃ δὲ ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι ἐξ ὑπεροχῆς γεγενημένος ὑπάρχεις. ἡμεῖς δὲ νῦν οὐκέτι αἰχμάλωτοί ἐσμεν καὶ νῦν τεταπεινωμέναι, ἀλλὰ νῦν οἴδαμεν Ἀλέξανδρον νέον Δαρεῖον γεγονέναι ἡμῖν. Ἀλέξανδρον προσκυνοῦμεν τὸν μὴ καταισχύναντα ἡμᾶς. ἐγράψαμεν δὲ παντὶ τῷ τῶν Περσῶν ἔθνει, ἴδιον νῦν Δαρεῖον οἴδαμεν Ἀλέξανδρον βασιλέα· καὶ γὰρ ἡ τύχη Ἀλεξάνδρῳ, βασιλεῖ πάσης τῆς οἰκουμένης, Ῥωξάνην πρὸς γάμους ἄγει. πάντες οὖν προσάγετε Ἀλεξάνδρῳ εὐχαριστίας ἀξίως, ὅτι τὸ τῶν Περσῶν καύχημα μειζόνως νῦν ὑψώθη. ἀγαλλώμεθα Ἀλέξανδρον ἀναγορεύοντες μέγιστον βασιλέα. ἔρρωσο.

⌊ὁ δὲ Ἀλέξανδρος δεξάμενος τὰ⌋ γράμματα αὐτῶν ἀντιγράφει αὐταῖς οὕτως·

ἐπαινῶ ὑμῶν τὸ φρόνημα, πειράσομαι οὖν ἄξια τοῦ γένους ὑμῶν φροντίσαι· κἀγὼ φθαρτὸς ἄνθρωπος γεγένημαι. ἔρρωσθε.

ἐν ὑστέρῳ δὲ ἔγραφε καὶ τῇ Ῥωξάνῃ Ἀλέξανδρος οὕτως·

⌊Ἀλέξανδρος βασιλεὺς⌋ Ῥωξάνῃ τῇ ἐμῇ γυναικὶ χαίρειν. γράφων Ὀλυμπιάδι τῇ ἐμῇ μητρὶ περὶ ἄλλων τινῶν ἀνηκόντων ἡμῖν, προενετειλάμην δὲ ἐν τῇ γραφῇ καὶ τὸν γυναικεῖον κόσμον καὶ τὸν ἱματισμὸν τῆς μητρὸς Δαρείου καὶ τῆς

(2) καὶ τὸ τῶν Περσῶν CD/ αἰώνιόν σε (lectio incerta) C (3) ὑπερέχοντι D/ λογισμῷ καὶ φρονήσει καὶ δυνάμει ὑπερέχοντα C (5) παρὰ σεαυτὸν εἶναι(om.D) CD (6) τῆς ὅλης οἰκουμένης D, ὅλης τῆς οἰκουμένης C/ δεσπότην R (7) αἰχμαλώτους ἡμᾶς D/ πεπτωκυίας ἡμᾶς C (8) κάμπτρας RD, ἀγκάλας CB, ὑπὸ τὰ σὰ σκῆπτρα A/ ὅτιπερ D (10) καὶ νῦν R, αἱ νῦν CD/ ἀλλ' οἴδαμεν D/ 'Αλέξανδρον βασιλέα C (11) 'Αλεξάνδρῳ προσκυνοῦμεν τῷ μὴ καταισχύναντι CB (12) τῷ om. C (13) ἴδιον RCDB, ἰδοῦ Mueller/ τὸν 'Αλέξανδρον μέγιστον βασιλέα C (15) γάμον C (16) ἀξίως 'Αλεξάνδρῳ εὐχαριστίας C/ ὅτι τῶν Περσῶν τὸ καύχημα C (17) 'Αλέξανδρον μέγιστον βασιλέα ἀγορεύοντες C (22) καὶ γὰρ κἀγὼ αὐτὸς D, κἀγὼ γὰρ CB (23) ἐν ὑστέρῳ δὲ 'Αλέξανδρος ἔγραφε καὶ τῇ 'Ρωξάνῃ ἐπιστολὴν περιέχουσαν οὕτως C/ similem epistulam praebet cod. B, quam omittit cod. L; at iste praebet epistulam ad Olympiadem missam. (25) ἀνηκοόντων C (26) ἐν ἡμῖν C/ προσενετειλάμην D/ καὶ om. C (27) κόσμον πεμφθῆναι ἡμῖν D

μητρός σου Ῥόδους ἀποσταλῆναι ἡμῖν καὶ τὸ τίμημα πεμφθῆναι αὐτὴν ὑπὲρ ἐμοῦ. πειρῶ δὲ καὶ αὐτὴν τὰ ἀντάξια φρονεῖν Ἀλεξάνδρου καὶ τὸν φόβον ἔχειν καὶ τὴν πρὸς τὴν Ὀλυμπιάδα τιμήν· ταῦτα γὰρ πράττουσα καὶ σεαυτὴν καὶ ἡμῖν μεγάλην εὐσχημοσύνην περιποιήσεις. ἔρρωσό μοι φιλτάτη.

⌊δεξαμένη οὖν ἡ Ὀλυμπίας τὰ γράμματα Ἀλεξάνδρου⌋ εὐθέως ἑτοιμάσασα τὴν βασιλικὴν αὐτῆς τιμίαν ἐσθῆτα καὶ πάντα κόσμον τίμιον ὑπερηφανῆ ὑπὲρ πᾶσαν βασιλικὴν θεωρίαν διεπέμψατο ἀπὸ Μακεδονίας.

τοὺς δὲ γάμους ἑτοίμως πεποιηκότων τελείας καὶ πολλῆς ἀγαλλιάσεως γενομένης περὶ τὰ βασίλεια Ἀλεξάνδρου καὶ Ῥωξάνης ἐτέλεσαν. ὡς δὲ τοῦτο ἐν Περσίδι πᾶσι δῆλον γέγονεν, εἰς ὁμόνοιαν ἔρχονται Πέρσαι τοῖς Μακεδόσιν ὡς ἀδελφικῶς ἀλλήλοις διακεῖσθαι.

23

μεταξὺ δὲ τούτων προστάσσει Ἀλέξανδρος Σελεύκῳ τῷ ἄρχοντι ἅπαν τὸ Περσικὸν ἐπισυνάξαι στράτευμα. μετὰ

(1) 'Ρόδους D, 'Ροῦς R, 'Ρόδου C/ ἀποσταλῆναι R, πεμφθῆναι C, ἀποσταλῆναι ἡμῖν om. D (2) αὐτὴν ὑπὲρ ἐμοῦ R, αὐτῇ παρ' ἐμοῦ CD/ καὶ om. C/ αὐτὴ D

(3) 'Αλεξάνδρῳ CD/ πρὸς 'Ολυμπιάδα CD (4) σεαυτῇ C

(5) ποιήσεις C/ μοι om. C/ post φιλτάτη add. C ταῦτα οὖν τὰ γράμματα ἔγραφε 'Ρωξάνῃ τῇ γυναικὶ αυτοῦ· ὅπως ἔστειλεν ἐπιστολὴν τῇ ἰδίᾳ μητρὶ 'Ολυμπιάδι/ in cod. A sequitur lioer III (7) καὶ ἡ 'Ολυμπίας C

(9) κόσμον περιφανῆ τίμιον D (1o) διεπέμψατο 'Αλεξάνδρῳ CDB (11) ἐν ἑτοίμῳ CDB/ πεποιηκότες C/ τελείας RDC, malim τελείως

(13) ἐτελέσθησαν D/ post ἐτέλεσαν add. C ἐλθούσης καὶ αὐτῆς μετὰ τῆς μητρὸς καὶ μετὰ τῶν συγγενίδων αὐτῆς/ a verbis ὡς δὲ τοῦτο usque ad cap. 35 recensionem ε sequitur γ. in recensione β nunc legitur Alexandri epistula ad Olympiadem missa, in qua res gestae Alexandri et multae miraculosae res narrantur; at ista narratio brevior ac diversa est a narratione recensionis ε.

(14) ἐγένετο C (15) post διακεῖσθαι haec e recensione β interponit C:

μετὰ δὲ ταῦτα γράφει 'Αλέξανδρος 'Ολυμπιάδι τῇ μητρὶ αὐτοῦ ἐπιστολὴν περιέχουσαν οὕτως·

βασιλεὺς 'Αλέξανδρος 'Ολυμπιάδι τῇ γλυκυτάτῃ μου μητρὶ καὶ 'Αριστοτέλει τῷ τιμιωτάτῳ μου καθηγητῇ χαίρειν· ἀναγκαῖον ἡγησάμην γράψαι ὑμῖν περὶ τῆς συστάσεώς μου τῆς γενομένης πρὸς Δαρεῖον· ἀκούσας αὐτὸν μετὰ πολλῶν ὄντα βασιλέων καὶ σατραπῶν περὶ τὸν 'Ισσιακὸν κόλπον, συλλαβὼν αἶγας πλείστας καὶ συνδήσας εἰς τὰ κέρατα αὐτῶν δᾷδας ἐξῆψαν(ἐξῆπτε Mueller) νυκτός· οἱ δὲ ἰδόντες ἡμᾶς εἰς φυγὴν ἐτράπησαν εἰκάσαντες πολὺ εἶναι τὸ στρατόπεδον . καὶ οὕτως τὴν μετ'αὐτῶν νίκην ἐτροπώσαμεν, ἐφ'οὗ καὶ πόλιν ἔκτισα Αἶγας προσονομάσας· καὶ ἐν τῷ 'Ισσιακῷ δὲ κόλπῳ ἔκτισα πόλιν 'Αλεξανδρείαν τὴν κατὰ 'Ισσόν. κἀκεῖθεν πάλιν ὡδεύσαμεν μέχρι τῆς ὁδοῦ τῶν 'Αρμενίων χώρας, οὗ ἐστιν ἡ τοῦ Εὐφράτου καὶ Τίγρεως ποταμοῦ πηγή. περικατάληπτος δὲ γενόμενος Δαρεῖος ἀναιρεῖται ὑπὸ Βήσσου καὶ 'Αριοβαρζὰν τῶν Μηδίας σατραπῶν· ἐγὼ δὲ λίαν ἐλυπήθην περὶ τούτου· νικῆσαι γὰρ αὐτὸν ⟨οὐκ ἐβουλόμην φονεῦσαι, ἀλλ' ἔχειν

πολλοῦ δὲ τοῦ τάχους τοῦ λαοῦ ἐπισυναχθέντος,εὑρέθησαν χίλιαι τριάκοντα χιλιάδες ἱππέων καὶ τετράκις χίλιαι χιλιάδες πεζῶν,τὸ δὲ λοιπὸν πλῆθος ἐν τοῖς πολέμοις διεφθάρη. τούτους 'Αλέξανδρος σὺν παντὶ τῷ Μακεδονικῷ στρατεύματι ἑνώσας τὴν κατ' Αἴγυπτον ἐποιεῖτο πορείαν.

24

καὶ καταλαμβάνει τὴν 'Ιουδαίαν γῆν· οἵτινες ἀντιστῆναι βουληθέντες ἐκπέμπουσιν κατασκόπους,ὡς δῆθεν πρέσβεις εἶναι τούτους. ταῦτα δὲ ὅμως οὐκ ἔλαθεν 'Αλεξάνδρῳ. καὶ προστάσσει τινὰς τῆς Μακεδονικῆς φάλαγγος νεανίσκους λίαν μαχιμωτάτους ἐν τῇ παρακειμένῃ φάραγγι ἑαυτοὺς ἀκοντίσαι. οἱ δὲ τὸ προσταχθὲν αὐτοῦ σπουδαίως ἐπλήρωσαν. ὀξὺ γὰρ τὸ Μακεδονικὸν στῖφος εἰς τὸ κελευόμενον ὑπὸ 'Αλεξάνδρου. καὶ στραφεὶς προς τοὺς κατασκοπεῦσαι βουλομένους εἶπεν· "ὁρᾶτε,οἱ τοῦ 'Ιουδαϊκοῦ ἔθνους πρέσβεις,πῶς ἀντ'οὐδενὸς τῷστρατῷ Μακεδόνων ὁ θάνατος. ἄπιτε οὖν καὶ τὸ συμφέρον ὑμῖν πραγματεύεσθε. ἐγὼ δὲ τὴν αὔριον ἐπελεύσομαι πρὸς ὑμᾶς καὶ ὡς τῇ προνοίᾳ δεκτὸν πράξω."

οἱ δὲ ἀπελθόντες τοῖς ἄρχουσιν αὐτῶν εἶπον·" ἐπείκειν 'Αλέξανδρον καὶ σῴζεσθαι χρεών· οὐ γάρ ἐστιν ἡμῖν ἐλπὶς σωτηρίας. ἔξω γὰρ φύσεως ἀνθρώπων ὁ Μακεδόνων στρατός· ὡς γὰρ ἐν ἡμῖν φοβερὸς καθέστηκεν ὁ θάνατος,τοῖς Μακεδόσι οὐχ οὕτως,ἀλλὰ καὶ λίαν εὐκαταφρόνητος. οἶμαι δὲ τούτοις ἐριστικῶς ἔχειν τὸ θανεῖν,ὡς ἄν τις εἴποι πρὸς ἀναγκαῖόν τι χρῆμα τούτοις ἀπέρχεσθαι· ἐξέστησαν γὰρ ἡμᾶς ἐν τῇ φάραγγι τῇ μεγάλῃ ὡς ὑποβρύχιον ἑαυτοὺς ποιήσαντες οἱ τῶν Μακεδόνων παῖδες· ἅμα γὰρ 'Αλεξάνδρος

αὐτὸν BL⟩ ὑπὸ τὰ ἐμὰ σκῆπτρα. ἔμπνουν δὲ τοῦτον καταλαβὼν, περιελόμενος τῇ ἐμαυτοῦ χλαμύδι ἐσκέπασα· εἶτα ἀποβλεψάμενος τὰ τῆς ἀδήλου τύχης ἐπὶ τὸ προκείμενον ὑπόδειγμα ἐκήδευσα Δαρεῖον καὶ τιμὴν μεγίστην αὐτῷ περιποιήσας ἐν ἐξόδῳ τοῦ βίου ἐκέλευσα ἀποτμηθῆναι ῥῖνας καὶ ὦτα τῶν φυλασσόντων αὐτοῦ τὸ μνῆμα τῇ συνηθείᾳ τῶν Περσῶν· καὶ ἐκέλευσα προστάγματα ὑποτάξας τὴν Περσικὴν βασιλείαν καὶ Ἰβηρίαν καὶ πᾶσαν χώραν, ἧς ἐβασίλευσε Δαρεῖος ὁ Πέρσης. μετὰ δὲ τούτων διὰ συνθήκας Δαρείου ἔλαβον Ῥωξάνην τὴν θυγατέρα αὐτοῦ εἰς γυναῖκα καὶ ἐποίησα αὐτῆς τὸν γάμον μετὰ τοῦ πλήθους Περσῶν καὶ Μακεδόνων. μεταξὺ δὲ τούτων προστάσσει κτλ.

(1) μετὰ δὲ πολλοῦ C/ εὑρέθησαν τριάκοντα μυριάδες πεζῶν, τὸ δὲ λοιπὸν πλῆθος C
(4) τούτους δὲ CD/ σὺν τῷ Μακεδονικῷ στρατῷ C
(6) καταλαμβάνει δὲ Ἀλέξανδρος C/ post γῆν perg. D ἐντεῦθεν καὶ οἱ οἰκήτορες τῆς πόλεως ἀντιστῆναι
(9) νεανίσκους καὶ λίαν γενναιοτάτους Q
(10) φάραγγι RDQ, φάλαγγι C (11) τὸ παρ' αὐτοῦ προσταχθὲν D, τὸ προσταχθὲν αὐτοῖς C
(12) ὀξὺν R (14) οἱ om. C
(15) πραγματεύσασθε DQ
(19) ὑπείκειν Ἀλεξάνδρῳ CDQ
(23) οἶμαι δὲ τούτους D/ post εὐκαταφρόνητος perg. C ὑπολαμβάνομεν δὲ τούτους ἐριστικῶς ἔχειν πρὸς τὸ θανεῖν
(25) τούτους D, om. C (27) οἱ τῶν om. C

ἐκέλευσεν,τὸ ἔργον ἐτελέσθη. καὶ οὐ τοσοῦτον ἡμᾶς ἡ τοῦ θανάτου ἐθρόησε τόλμη,ὅσον τὸ μὴ κερδᾶναί τι προσδοκῶντες· οὕτως εὐχερῶς πρὸς τὸ θανεῖν ηὐτομόλησαν· ἐὰν δὲ καὶ κέρδος ἐλπίσουσι,οὐκ ἄν τις ἀντιστῆναι δυνήσεται. λοιπὸν γὰρ ἡμεῖς,ἅπερ ἐθεασάμεθα,εἴπομεν ὑμῖν· γενέσθω δὲ τὸ δοκοῦν ἡμῖν πρὸ τοῦ 'Αλέξανδρον καταλαβεῖν καὶ πᾶσα ἀκυρωθήσεται ἄστατος βουλή." ὡς οὖν ταῦτα ἤκουσαν,'Αλεξάνδρῳ ὑπείκειν κελεύονται. ταῖς ἱερατικαῖς οὖν στολαῖς ἑαυτοὺς οἱ τούτων ἱερεῖς ἐνδυσάμενοι καθυπαντῶσιν 'Αλεξάνδρῳ σὺν παντὶ τῷ πλήθει αὐτῶν· τούτους δὲ 'Αλέξανδρος ἰδὼν ἐδεδίει τοῦ σχήματος· καὶ τούτους μηκέτι προσεγγίσαι αὐτῷ ἐκέλευσεν,ἀλλ' ἐν τῇ πόλει ἀναστρέφεσθαι. προσκαλεσάμενος δὲ ἕνα τῶν ἱερέων λέγει αὐτῷ· "ὡς θεοειδὲς ὑμῶν τὸ σχῆμα· φράσον δή μοι καὶ τίνα ὑμεῖς σέβεσθε θεόν; οὐ γὰρ ἐν τοῖς παρ' ἡμῖν θεοῖς τοιαύτην εὐταξίαν εἶδον ἱερέων." ὁ δὲ φησίν· "θεὸν ἡμεῖς ἕνα δουλεύομεν,ὃς ἐποίησεν οὐρανὸν καὶ γῆν καὶ πάντα τὰ ὁράμενά τε καὶ ἀόρατα· οὐδεὶς δὲ αὐτὸν ἑρμηνεῦσαι ἀνθρώπων δεδύνηται." ἐπὶ τούτοις 'Αλέξανδρος ἔφη· "ὡς ἀληθινοῦ θεοῦ ἄξιοι θεραπευταὶ ἄπιτε ἐν εἰρήνῃ,ἄπιτε· ὁ γὰρ θεὸς ὑμῶν ἔσται μοι θεὸς καὶ ἡ εἰρήνη μου μεθ' ὑμῶν,καὶ οὐ μὴ διεξέλθω ὑμᾶς καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν,ὅτι θεῷ ζῶντι ὑμεῖς δεδουλεύκατε." λαβόντες δὲ χρημάτων πλήθη ἔν τε χρυσῷ καὶ ἀργύρῳ ἤγαγον πρὸς τὸν 'Αλέξανδρον. ὁ δὲ οὐκ ἠθέλησε λαβεῖν,εἶπεν αὐτοῖς· "ἔστωσαν ταῦτα τὰ δῶρα καὶ ἐμοὶ ἀφωρισμένος φόρος κυρίῳ τῷ θεῷ· ἐγὼ δὲ οὐ λήψομαι ἐξ ὑμῶν οὐδέν."

(1) ἐκέλευσεν 'Αλέξανδρος D/ παρευθὺς(εὐθὺς C) τὸ ἔργον CD/ ἐτελέσθην R (2) τοῦ μὴ CDQ (3) ἐὰν R, ἂν CDQ (4) ἐλπίσωσι CDQ/ ἐλπίσωσι οἱ τοιοῦτοι D/ τούτους ἀντιστῆναι D/ δυνήσεται αὐτοῖς C (5) γάρ om. CQ/ ἡμεῖς (ἡμᾶς D) μὲν CD/ γενέσθω δὲ τὸ δοκοῦν ἡμῖν (ὑμῖν CQ) RCQ, ὑμεῖς δὲ τὸ δοκοῦν ὑμῖν ἐκπληρώσατε D (6) ἡμᾶς (ὑμᾶς D) καταλαβεῖν CD/ καὶ πᾶσα τότε D (7) βουλὴ ἄστατος C/ ὡς ἂν ταῦτα ἤκουσαν παρ'αὐτῶν D (8) κελεύονται R, βουλεύονται CDQ/ ἑαυτοὺς om. CQ (9) 'Αλέξανδρον DQ/ σὺν τῷ παντὶ πλήθει C (11) σχήματος αὐτῶν D (12) πόλει αὐτῶν D (17) τὰ ὁρώμενα καὶ τὰ ἀόρατα D, καὶ πάντα τὰ ἐν αὐτοῖς omisso ὁράμενά τε καὶ ἀόρατα C (20) μου CDQ (22) ταῖς λοιπαῖς ἔθνεσιν D (24) ταῦτα λαβεῖν D, λαβεῖν αὐτὰ C/ εἰπὼν CQ (25) ἔστωσαν γοῦν D/ καὶ ὁ ἐμοὶ CQ, καὶ ὁ ἐμοὶ παρ' ὑμῶν ἀφωρισμένος φόρος κυρίῳ τῷ θεῷ ἀντεθημένα (i.e ἀνατεθειμένα) D (26) οὐ om. D

25

ἐπὶ τούτοις 'Αλέξανδρος διῆλθε τὴν 'Ιουδαίαν γῆν καὶ καταλαμβάνει τὴν Αἴγυπτον. ἔδοξεν οὖν τοῖς Αἰγυπτίοις μὴ ὑποκύπτειν 'Αλέξανδρον καὶ τὴν αὐτῶν πόλιν κατοχυρώσαντες εὐτρεπίζονται τὰ πρὸς μάχην. ὁ δὲ 'Αλέξανδρος τὴν φάλαγγα ἐκτείνας περικυκλοῖ τὴν πόλιν καὶ πήξας τὸ φοσσάτον διῆγεν ἀναπαύων τὸν στρατόν. καύσωνος δὲ πολλοῦ γενομένου ἐξέρχεται ἀναψυχήσων μετ' ὀλίγων ἱππέων, καὶ δὴ καταλαμβάνει λίμνην καθαρὰν καὶ διαυγῆ ἔχουσαν ὕδωρ, καὶ κατελθὼν τοῦ ἵππου λούεται ἐν αὐτῇ. τὸ δὲ ψυχρὸν τοῦ ὕδατος ἐποίησεν 'Αλέξανδρον ἀρρωστῆσαι· ὡς δὲ ἡ νόσος ἐπεκτείνετο, ἤλγουν οἱ Μακεδόνες, σὺν αὐτοῖς δὲ καὶ οἱ Πέρσαι. κατάδηλον δὲ τοῖς Αἰγυπτίοις ἐγένετο ἤδη 'Αλέξανδρον ἀρρωστεῖν· καὶ ἀποστέλλουσί τινες τῆς πόλεως πρὸς Φίλιππον τὸν ἰατρὸν λέγοντες· "εἰ 'Αλέξανδρον δυνηθείης φαρμάκῳ ἀνελεῖν, σὺ ἡμῶν ἔσῃ βασιλεύς." καί, "ὦ ὑμεῖς", Φίλιππος εἶπεν, "τί ἀπεφήνασθε περὶ 'Αλεξάνδρου; εἷς οὐκ ἔστιν ὁ κόσμος μιᾶς τριχὸς τούτου ἀντάξιος." οἱ δὲ τοῦτο βουλευσάμενοι, θεασάμενοι Φίλιππον μὴ συγκατατεθῆναι αὐτοῖς θελήσαντα, καὶ τῆς αἰτήσεως ἀποτυχόντες τοιόνδε ἐννόημα ἐννοοῦσι· καὶ ὡς φιλοφρονούμενοι τῷ 'Αλεξάνδρῳ γράφουσιν ἐπιστολὴν καὶ λάθρᾳ διὰ τοῦ τείχους διδόασιν 'Αντιόχῳ εἰπόντες· "τήνδε τὴν ἐπιστολὴν ἐν χερσὶν δὸς 'Αλεξάνδρου." ἡ δὲ ἐπιστολὴ πανουργίας ἦν πλήρης μεμεστωμένη, ὥστε συνταγῆναι Φίλιππον δῆθεν τοῖς Αἰγυπτίοις δολοφονῆσαι 'Αλέξανδρον. 'Αντίοχος οὖν λαβὼν αὐτὴν ἄγει πρὸς τὸν 'Αλέξανδρον ⟨ ⟩ καὶ ἀναγνοὺς τίθησιν αὐτὴν ἐν προσκεφαλίδι. ἕωθεν δὲ Φίλιππος ἔρχεται κύλικα φέρων ἐν χερσὶν ἐσκευασμένου βοη-

(1) γῆν om. CDQ/ διελθὼν δὲ 'Αλέξανδρος καὶ παραλαβὼν τὴν 'Ιουδαίαν καταλαμβάνει C (3) 'Αλεξάνδρῳ CD (4) τὰ om. C (5) ἐπεκτείνας CDQ/ πήξας τὰς σκηνὰς (lectio dubia) τοῦ φοσσάτου C (10) 'Αλέξανδρον RC, αὐτὸν D (11) σὺν αὐτοῖς οὖν D (12) ὡς ἤδη D/ 'Αλέξανδρος R (13) τινὲς - λέγοντες RCD, τινὰς - λέγοντες Q, τινὰς - λέγοντας Mueller (15) ἔφη C/ τί ἄρα D (16) εἷς οὐκ ἔστιν R, ὡς οὐκ ἔστιν CD, οὐ γάρ ἐστιν Q (19) νόημα C (20) γράφουσιν αὐτῷ C (21) τῷ 'Αντιόχῳ CD (22) δοὺς C/ ἡ δέ γε ἐπιστολὴ D (23) πανουργίας CD, πανουργεί R/ πλήρης glossa ad μεμεστωμένη (24) 'Αντίοχος οὖν λαβὼν αὐτὴν ἄγει πρὸς τὸν 'Αλέξανδρον D, ὁ δὲ 'Αντίοχος λαβὼν ἄγει πρὸς τὸν 'Αλέξανδρον C, 'Αντίοχος - 'Αλέξανδρον om. R, 'Αντίοχος οὖν λαβὼν ἄγει πρὸς τὸν 'Αλέξανδρον, ὁ δὲ λαβὼν καὶ ἀναγνοὺς τίθησιν Q (26) ἀναγνοὺς ταύτην D, ἀναγνοὺς αὐτὸς C/ ἐν τῇ προσκεφαλίδι αὐτοῦ C, ἐπὶ τῇ προσκεφαλῇ αὐτοῦ D/ ἔωθεν οὖν D (27) ἐσκευασμένον C

θήματος καὶ φησίν· "ἀναστάς,δέσποτα,καὶ τοῦδε τοῦ βοηθήματος πιὼν τῆς νόσου ταχέως ἀπαλλάγηθι." Ἀλέξανδρος δὲ ἀναστὰς καὶ τῆς κύλικος λαβόμενος σὺν δάκρυσιν ἔφη· "πίομαι,Φίλιππε." ὁ δὲ, "πίε δέσποτα",εἶπε,"καὶ τῆς νόσου τάχιον ἀπαλλάγηθι." ὁ δὲ εἰς αὐτὸν ἐμβλέψας πάλιν εἶπε· "καὶ πίομαι." ὁ δὲ Φίλιππος εἶπεν· "εἶπόν σοι,δέσποτα, πίε καὶ τῆς νόσου ἀπαλλάγηθι." ὁ δὲ παρευθὺς ἔπιε καὶ λαβόμενος τὴν ἐπιστολὴν δίδωσι τῷ Φιλίππῳ οὕτως εἰπών· "ἐγὼ εἶδον,ὅτι Φίλιππος κατὰ Ἀλεξάνδρου ἀδόλως ἔχει." λαβὼν δὲ Φίλιππος ἀνέγνω τὴν ἐπιστολὴν καί· "ὦ δέσποτα, ἐμοὶ ὁ σύμπας κόσμος οὐκ ἀντάξιος μιᾶς τριχὸς τῆς ἐκπιπτούσης κεφαλῆς σου·" καὶ "ποῦ μοί ἐστιν ἐν κόσμῳ ἕτερος Ἀλέξανδρος;" καὶ "εἰς σὲ τοῦζῆν ἐπιβουλεύομαι;μὴ γένοιτο· μήτε ὑπόφερε τοῦτο ἀκοῦσαι τὸ σύνολον,δέσποτα. ἀλλ' ὅμως ἐπεὶ οὕτως ἔδοξεν Αἰγυπτίοις ἰδοὺ τὸ φάρμακον πέπωκας· ἀνάστηθι οὖν καὶ πεῖραν αὐτοῖς ἅπαξ ἐπίδειξον, ἵνα μάθωσιν Μακεδόνας μὴ ὑπερφρονεῖν." καὶ ταῦτα εἰπὼν ἐξῆλθεν σιγὴν γενέσθαι διαταξάμενος.

τούτου δὲ γενομένου εἰς ὕπνον ἡδύτατον Ἀλέξανδρος μετετράπη,ἔμεινεν δὲ τὴν πᾶσαν ἡμέραν κοιμώμενος. ἑσπέρας οὖν ἤδη καταλαβούσης ἔξυπνος γενόμενος ὅλως ἦν ὑγιὴς καὶ προσκαλεσάμενος Ἀντίοχον ἔφη· "ὦ Ἀντίοχε,Φιλίππου φάρμακον εἶδον,καὶ ὁ Φίλιππος ἀνὴρ πιστός,πολλῶν ἀντάξιος ἄλλων· κάλεσον δὲ αὐτόν." καὶ ἐξελθὼν Ἀντίοχος ἐκάλεσε Φίλιππον,ὁ δὲ Ἀλέξανδρος ἔφη αὐτῷ· "ὅλως ὑγιὴς γέγονα, Φίλιππε·" καὶ λαβόμενος αὐτοῦ τὸν τραχήλον κατεφίλει.

(1) exspectes ἀνάστα (2) πιὼν παρευθὺς D/ ἀπαλλαγήσῃ D/ ἀναστὰς δὲ 'Αλέξανδρος C (4) εἶπε om. D

(5) τάχιον om. C/ ἀπαλλάγηθι RCQ, ἐλευθερωθείσῃ (i.e.-θήσῃ) D/ post ἀπαλλάγηθι omissis intermediis perg. 7 ὁ δὲ παρευθὺς ἔπιε C/ ὁ δὲ πρὸς αὐτὸν καὶ αὖθις ἐμβλέψας εἶπε D

(6) εἰπόν σοι, δέσποτα, πολλάκις, πίε καὶ ὡς ἐν συντόμῳ τῆς νόσου ἀπαλλαγήσῃ D

(8) καὶ λαβόμενος RQ, καὶ λαβὼν C, καὶ μετὰ τὸ πιεῖν λαβὼν τῆς ἐπιστολῆς δέδωκε ταύτην D

(10) καὶ Φίλιππος C/ ἀνέγνω om. C/ ἀνέγνω ταύτην καὶ "ὦ δέσποτα" ἔφη D/ δέσποτα ἔφη C

(11) ἐμοὶ RDQ, σοὶ C/ τῆς ἐκ κεφαλῆς σου ἐκπιπτούσης D, τριχός ἐστι τῆς ἐκπιπτούσης ἐκ τῆς κεφαλῆς σου C

(13) εἰς (εἰ C) σὲ τοῦ ζῆν RC, σὲ τοῦ ζῆν D

(15) ἐπεὶ οὖν D (17) μάθωσιν CDQ, θῶσιν R

(18) σιγὴν CD, φιγὴν R (19) μετετράπη 'Αλέξανδρος D (20) καὶ ἔμεινε τὴν C

(21) δὲ ἤδη C/ ἦν CDQ, om. R (23) ᾔδειν C/ εἶδον, καὶ ὡς ἔοικεν D/ ἀνὴρ πιστὸς om. Q/ πολλῶν ἄλλων ἀντάξιος D, sed cf. Hom.Λ 514

(26) αὐτὸν τοῦ τραχήλου κατεφίλει αὐτόν C

26

καὶ ἀναστὰς κελεύει τὰ στρατεύματα πρὸς πόλεμον εὐτρεπίζεσθαι. ἄρτι δὲ τοῦ ἡλίου ἀνατείλαντος καὶ τὰς ἀκτῖνας τοῖς ἀκρωρείοις πυραυγεῖς ἐκπέμψαντος ἅπαν τὸ Μακεδονικὸν καὶ Περσικὸν στράτευμα ἔνοπλοι τῇ πόλει κύκλοθεν παρειστήκεισαν,οἱ πάντες χρυσέοις τεθωρακισμένοι θώραξιν,ὥστε τὸν ἥλιον τοῖς θώραξιν ἀντικρούοντα ἐδόκει ἐξαῦθις τὴν ἡμέραν ἀνταγλαΐζεσθαι. τὰ δὲ πλήθη τῶν τόξων τὰς ἡλιακὰς ἐκάλυφεν αὐγάς· οἱ δὲ ὁπλῖται τοῖς δόρασιν ἄραντες ἐῴκεισαν ὄρεσιν περιπατοῦντα· ὡς δὲ καὶ βοὴν ἀφίεσαν,εἰκάσαι τινὰ τὸν οὐρανὸν εἶναι καὶ συγχεθῆναι καὶ πεπτωκέναι. καὶ λοιπὸν πᾶσα σοφία ἀπόλωλεν Αἰγύπτου.

ὡς οὖν εἴδησαν Αἰγύπτιοι μὴ ἔχοντες τί ἂν πράξοιντο,ἔρχονται ἐν τῷ τοῦ Ἀπόλλωνος μαντείῳ καὶ πύθονται,τί δ' ἂν γένοιτο περὶ τῆς σωτηρίας αὐτῶν καὶ τοῦ κινδύνου ἐκφύγωσιν. καὶ ἐδόθη χρησμός· ἔα·ἔα· θνητοῖς ἀστατεῖ ἡ φρενή· ῷ γεραρῷ ὑπείκεσθε πρὶν νεάζοντες,νῦν νεάζοντι ὑπείκεσθε γεραροί· ἄπιτε ἐς δόμον ἐμόν· μνήμην τῶν πάλαι ἐχόντων ποιήσασθε. Ἀλεξάνδρῳ ὑπείκειν ἐφετμεύω.

οἱ δὲ τὸν πάλαι χρησμὸν ἐν νῷ λαβόντες ὡς Νεκτεναβῶ τῆς Αἰγύπτου ἀπέδρα,ἐπινοοῦσι παῖδα εἶναι Νεκτεναβῶ τὸν Ἀλέξανδρον. ὡς δὲ ὁπλῖται καὶ οἱ λοχαγοὶ τῷ τείχει προσήεσαν, ἔνδον φωναὶ ἠκούοντο. αἱ δὲ φωναὶ Ἀλέξανδρον ἐπευφήμουν καὶ,"ὁ βασιλεὺς ζήτω Ἀλέξανδρος",ἔλεγον· καὶ ὑπεράνω τοῦ τείχους αἱ βοαὶ ἠκούοντο,οὐδεις δὲ τῶν ἔσωθεν τῆς πόλεως προκύψαι ἐτόλμων διὰ τὸ πλῆθος τῶν ἐπιφερομένων βελῶν.

ἀκούουσιν ταῦτα Μακεδόνες καὶ γελᾶν παραχρῆμα ἐπιχειροῦσιν· τὸ δὲ γέλως εἰς ἅπαν τὸ πλῆθος ἐπεφέρετο καὶ ἦν ὁ

(1) ἀναστὰς 'Αλέξανδρος C/ στρατεύματα αὐτοῦ D/ εὐτρεπίζεσθαι πρὸς πόλεμον C

(3) πυραυγεῖς RDQ, περιαυγεῖς C/ ἐκπέμφαντος RDQ, ἐκλάμφαντος C (5) ὁλοχρύσοις D/ κατεθωρακισμένοι C (6) ἐδόκει δὲ τοῖς βλέπουσιν ὡς τὴν ἡμέραν ἐκείνην ἀνταγλαΐζεσθαι D (9) περιπατοῦντα RD, περιπατοῦντες C, περιπατοῦσιν Q Mueller / βοὴν RDQ, φωνὴν C/ οἱ τοιοῦτοι ἀφίεσαν D (10) συγχεθῆναι D, συσχεθῆναι RC (11) πᾶσα ἡ CQ

(12) οἱ Αἰγύπτιοι CQ/ post Αἰγύπτιοι add. τὸ γεγονὸς καὶ D/ ἄν τι R/ διαπράξοιντο CD

(13) πύθονται παρ'αὐτοῦ D, πείθονται CQ

(14) τῆς αὐτῶν σωτηρίας CD/ ἐκφύγοιεν C

(15) ἔνθεντοι (om. CQ) καὶ ἐδόθη αὐτοῖς χρησμὸς τοιόσδε (om. CQ) CDQ/ φρενὴ CD, φρέρα R (16) ὦ γεραρῷ - 18 ποιήσασθε e D sumpsi , ὧν οἱ ὧν γεραρῶν οἱ πίκοιντο νεάζοντες οὐχ ὡς ὑπήκοισαν· ἄπιτε δόμον ἐμόν· μνήμην τῶν πάλαι ἐχόντων R, ὦ γεραροὶ ὑπείκεσθε γεραρῷ· ἄπιτε ἐς δόμον ἐμὸν κτλ.C (18) 'Αλεξάνδρῳ γὰρ CD/ φετμεύω R (19) ὡς πάλαι ποτὲ D

(20) Νεκτεναβῶ τὸν 'Αλέξανδρον RDQ, αὐτοῦ τὸν 'Αλέξανδρον C/ εἶναι pon. post 'Αλέξανδρον D

(21) οἱ om. C/ τὰ τείχη D (22) τὸν 'Αλέξανδρον C/ καὶ post ἐπευφήμουν om. C (23) ἔλεγε D

(24) βοαὶ RC, φωναὶ DQ (25) ἐτόλμα CDQ

(27) τὸ δὲ γέλως (sic) RDC

πόλεμος γελοίων ἀνάμικτος. ἔρχεται τοίνυν ὁ λόγος πρὸς 'Αλέξανδρον ὡς ὅτι αὐτὸν ἔνδοθεν εὐφημίζουσιν· καὶ 'Αλέξανδρος παρακλίνεται καὶ κελεύει ἄνεσιν δοῦναι τῷ πολέμῳ. τούτου δὲ γενομένου καὶ τοῦ πολέμου ἀνακωχὴν λαβόντος μικρὸν προκύψαι τοῦ τείχους κατατολμῶσιν Αἰγύπτιοι ἱκετηρίαις φωναῖς τὸν 'Αλέξανδρον καθικετεύοντες καὶ "ἐλέησον ὦ δέσποτα, τὴν πάλαι πατρίδα σου" καὶ "μὴ εἰς τέλος ὀργίζου τοῖς δούλοις σου." ὡς οὖν ἤκουσεν περὶ πατρίδος 'Αλέξανδρος ἐννεὸς γενόμενος κελεύει παντελῶς ἀνεθῆναι τὸν πόλεμον καὶ τοὺς βουλομένους ἐξιέναι τῆς πόλεως καὶ περὶ τοῦδε ἡμῖν ἑρμηνεῦσαι τοῦ λόγου· "οὐ γὰρ ἔσχον πατρίδα τὴν Αἴγυπτον· Μακεδονία γάρ μοι πατρίς· καὶ πῶς ὑμεῖς πατρίδα Αἴγυπτόν φατε ἔχειν;" οἱ δὲ προσπεσόντες τὰ τοῦ χρησμοῦ διηγοῦνται καὶ ὡς Νεκτεναβῶ βασιλέα ποτὲ εἶχον, ὡς ἐν τοῖς χρόνοις αὐτοῦ εὐτυχὴς ἦν Αἴγυπτος· "τανῦν δὲ πάλιν Αἴγυπτος φυλαρχήσειεν, καθάπερ ἡμῖν νενόμισται· ἔχε οὖν τὴν πόλιν σου καὶ τὸ δοκοῦν σοι πραττέον ἐν ἡμῖν γένοιτο." ὡς δὲ τὰ τοῦ χρησμοῦ ἀνηγγέλθη 'Αλεξάνδρῳ, εὐθέως εἰς νοῦν τὰ περὶ αὐτοῦ ἔλαβεν καὶ συστολὴν τοῦ πολέμου κελεύει γενέσθαι, καὶ τοὺς πρώτους ἐξιέναι τῆς πόλεως προστάττει καὶ σὺν αὐτῷ εἰσιέναι καὶ ἄγειν ἔμπροσθεν αὐτοῦ ἐν μελάθροις Νεκτεναβῶ. ταῦτα δὲ μετὰ πολλοῦ τοῦ τάχους ἐγένοντο.

27

ἐξῄεσαν δὲ ὅμως οἱ Αἰγύπτιοι καὶ δουλικῶς 'Αλέξανδρον προσπίπτουσιν καὶ σὺν αὐτῷ ἐν μελάθροις Νεκτεναβῶ εἰσβαί-

(2) ὡς ὅτι R, ὡς ὅτιπερ D, καὶ ὅτι C, ὡς Q (3) παρακλίνεται γ, παραγίνεται Q (5) μικρὸν pon. post τείχους C/ οἱ Αἰγύπτιοι C (7) δέσποτα ἔφασκον CDQ (9) possis ἐνεὸς (12) πῶς ὑμεῖς φατε CD/ πατρίδα ἔχειν τὴν Αἴγυπτον C (14) αὐτῷ διηγοῦνται D (15) ὡς D, ὅς RC/ ἡ Αἴγυπτος CD/ τανῦν δὲ (om. C) πάλιν ἐκεῖνον (om. C) ἐθέσπισε κοσμοκράτορα, ὦ δέσποτα, ὁ χρησμός· διὰ γὰρ σοῦ πάλιν ἡ (om. D) Αἴγυπτος φυλαρχήσειεν CD(Q) (16) καθάπερ ἡμῖν RCQ, ὡς ἂν παρ' ἡμῖν D (17) πραττέον ἐν: malim πρακτέον, πραττεῶν R, πράττε ὧν C, πράττε, ἐφ' οἷς D (18) τὰ om. R (19) περὶ ἑαυτοῦ CQ (20) τῆς πόλεως ἐξιέναι CD (22) ταῦτα δὲ RD, καὶ ταῦτα C (24) ἐξῄεσαν οὖν παραυτίκα D, οἱ δὲ Αἰγύπτιοι ὅμως ἐξῄεσαν C/ Ἀλεξάνδρῳ CD

νουσιν· καὶ ἀντὶ λύπης μᾶλλον ἔχαιρον – ἐπὰν γὰρ πόλις πολιορκουμένη προκαταλάβηται, λοιπὸν τοῖς ἐγχωρίοις ἄμετρος ἐπεισέρχεται θλῖψις, ὡς τὴν πατρίδα τοῖς πολεμίοις παραληψομένην βλέποντες – ταῦτα δὲ μᾶλλον οἱ Αἰγύπτιοι δρῶντες ἐκ θλίψεως εἰς χαρὰν μετῄεσαν· καὶ οὐχ ὡς πολεμίους αὐτοὺς ἡγούμενοι, ἀλλ' ὡς τὸν βασιλέα αὐτοῖς ἐπιφέροντες, εὐφημοῦντες δὲ καὶ χαίροντες καὶ "πάλιν ἄρχει Αἴγυπτος" ἔλεγον.

ὡς δὲ τοῖς βασιλείοις εἰσῄει 'Αλέξανδρος, τὸ τοῦ Νεκτεναβῶ ὁμοίωμα πρὸ τῶν θυρῶν ἵστατο, ὃς ἦν ἐστοιχειωμένον, στέφανον δὲ τῇ δεξιᾷ χειρί, τῇ δὲ ἑτέρᾳ σφαιροειδές τι προσδεικνύων· ἐν αὐτῷ δὲ ἡ σύμπασα τῆς οἰκουμένης περιεγέγραπτο κτίσις· ἐν δὲ τῷ στήθει τῆς εἰκόνος τάδε ἦν γεγραμμένα· "ὃς ἂν τοῖς ἐμοῖς ἕρπει δόμοις, τόδε τὸ στέφος θήσομαι κεφαλῇ· τοῦτον παῖδα ἐμὸν πάντες εἶναι νοεῖτε· τὴν δὲ πᾶσαν νοστήσει γαῖαν· τοῦδε τοὔνομα δοθῇ πόλει τῇδε." ἅμα δὲ καὶ τὴν πύλην 'Αλέξανδρος εἰσέδυ, τὸ ἐμφερόμενον στέφος διατίθησιν ἡ εἰκὼν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ· περιστραφεὶς δὲ τὸ συμβὰν ὡς ἐθεάσατο καὶ τὴν χεῖρα ἐκτετακὼς παρὰ τὸν ἐν τῇ κεφαλῇ αὐτοῦ τεθέντα ἤδη στέφανον, κάτω κατεχόμενον τῇ λαιᾷ χειρὶ τὸ σφαιροειδὲς ἐκεῖνο τίθησιν ἡ εἰκὼν ἐν τῇ χειρὶ αὐτοῦ, ὥστε θαυμάσαι τὸ γεγονὸς πάντας τοὺς ἐντυγχάνοντας. ὡς οὖν τῇ εἰκόνι προσέσχεν 'Αλέξανδρος, καὶ τὸ ὁμοίωμα θεασάμενος ἔγνω μὲν τὸ μόρφωμα τοῦ Νεκτεναβῶ εἶναι, ἐπὶ δὲ τὸ στῆθος ἀποβλέψας καὶ τοῖς γράμμασιν ἐντυχὼν ταῦτα μὲν αὐτοχείρως ἤμβλυνε, τὴν δὲ εἰκόνα ὡς τὰ τῆς ἀρχῆς αὐτῷ μαντευσαμένην ἐτίμησεν περι-

(1) ἀντὶ λύπης εἰς χαρὰν μετετράπησαν D/ ἐπὰν γὰρ RC, διὰ τοῦτο D/ πόλις – 2 λοιπὸν om. D (2) ἐγχωρίοις RDQ, κατοικοῦσιν C (3) ἐπεισέρχεται λύπη ἢ μᾶλλον θλῖψις C/ πολέμοις R (4) ταῦτα – 5 δρῶντες om. R (5) εἰς χαρὰν RCQ, εἰς ἡδονὴν καὶ εὐφροσύνην D/ καὶ om. C/ καὶ – 6 ἡγούμενοι om. R (6) βασιλέα αὐτῶν D/ ἀλλ' ὡς τὴν βασιλείαν αὐτοῖς ἐπιφέροντα Q (9) εἰς τὸ τοῦ Νεκτεναβῶ D (1o) ὅς ἦν R, ὡς ἦν D, καὶ ἦν C/ ἔχων pon. post 11 στεφανὸν δὲ C et post 11 δεξιᾷ DQ, om. R (12) προδεικνύων DQ (13) ἐν δὲ τῷ στήθει τῆς εἰκόνος CDQ, om. R (15) τῇ αὐτοῦ κεφαλῇ CD (16) οὗτος οὖν τὴν ἅπασαν D/ ἅπασαν αὐτὸς C/ νοστήσει RC, νοστήσειε DQ/ τοῦδε(τουδεσί R) τοὔνομα DR, τοῦ δὲ τὄνομα C/ τῇδε τῇ πόλει D (17) καὶ om. CD (18) ἐπιτίθησιν D/ πρὸ τῆς κεφαλῆς R (19) ἐπιστραφεὶς δὲ ὁ 'Αλέξανδρος D/ θεάσοιτο D, θεάσηται CQ (2o) παρὰ R, περὶ CQ, om. D (21) κάτω – 22 τῇ χειρὶ αὐτοῦ e C sumpsi, καὶ τῷ(κάτω D) κατεχομένῳ τελέσας(τηλέας D) σφαιροειδὲς τῇ χειρὶ αὐτοῦ τίθησιν ἡ εἰκὼν RD (26) ἤμβλυνε DQ, ἤμβυνε RC

χρυσώσας αὐτήν· οὐκ ἤθελε γὰρ 'Αλέξανδρος Νεκτεναβῶ παῖς λογίζεσθαι, ἀλλὰ Φιλίππου μέν, ἐκ θεῶν δέ. οὕτως δὲ καὶ τοῖς πᾶσιν ὁ λόγος ἐγνωρίζετο.

28

διατρίψας οὖν ἐκεῖσε χρόνον τινὰ τὴν πόλιν οἰκοδομεῖν ἐγχειρίζεται, κίοσί τε πλείστοις αὐτὴν κατακοσμήσας καὶ τὰ τείχη πύργοις εὐμήκεσι καὶ μεταρσίοις κατοχυρώσας, ἐν δὲ τῇ κατὰ ἀνατολὴν πύλῃ μεταρσιώτατον πάντων ἕνα πύργον οἰκοδομήσας, ἐν αὐτῷ τὴν ἑαυτοῦ στήλην ποιήσας ἵδρυσε, περὶ αὐτὸν δὲ Σελεύκου καὶ 'Αντιόχου καὶ Φιλίππου ἰατροῦ· καὶ τὴν μὲν Σελεύκου κέρας ἔχουσαν γνωρίζεσθαι πεποίηκεν διά τε τὸ ἀνδρεῖον καὶ δυσμάχητον, Φιλίππου δὲ σχῆμα ἔχειν καὶ ἰατρικὸν καὶ στρατιωτικόν, 'Αντίοχον δὲ δορυφόρον ἐμφέρεσθαι. τῶν πασῶν τοίνυν τελεσθεισῶν καὶ τῆς πόλεως περικαλλεστάτης ἐν παντὶ ὀφθαλμῷ ἀνθρώπων γεγονυίας ἄνεισιν 'Αλέξανδρος ἐν τῷ πύργῳ καὶ στὰς πάντας ἐξουθένησεν τοὺς θεοὺς τῆς γῆς⌊καὶ μόνον θεὸν ἀληθινὸν ἀνεκήρυξεν ἀκατανόητον, ἀθεώρητον, ἀνεξιχνίαστον, ἐπὶ τῶν⌋Σεραφὶμ ἐποχούμενον καὶ τρισαγίῳ φωνῇ δοξαζόμενον. ἐν τούτοις στὰς 'Αλέξανδρος ηὔξατο καὶ "ὦ θεὲ θεῶν καὶ δημιουργὲ ὁρατῶν καὶ ἀοράτων, σύνεργός μοι φάνηθι, ὧν πράττειν μέλλω." κατιὼν δὲ τοῦ πύργου εἰς τὰ βασίλεια ᾤχετο· καὶ Σέλευκον μὲν ἄρχοντα τῶν Περσῶν καθίστησιν, Φίλιππον δὲ Αἰγυπτίων ἡγεῖσθαι προστέτακτο, 'Αλέξανδρος δὲ Μακεδονίοις ἐπεστήρικτο καὶ ψυχαὶ Μακεδόνων 'Αλεξάνδρῳ ἐκρέμαντο.

29

καὶ⌊δὴ συναθροίσας πάντα στρατεύματα ὥρμησεν κατὰ τῶν

(2) οὕτως καὶ CQ (4) τὴν om. C (5) καὶ τὰ RCQ, ἧς τὰ D (7) ἀνατολὰς D/ πύλην R, πύλη DCQ/ μεταρσιωτάτην R (8) ᾠκοδομήσας D (9) τοῦ ἰατροῦ CDQ (10) καὶ κέρας D (11) δυσμάχητον αὐτὸν εἶναι CD/ ἔχειν σχῆμα C (12) καὶ ante ἰατρικὸν om. CD/ 'Αντιόχου δὲ δορυφόρου ἐνφαίνεσθαι D(Q) (13) τῶν γοῦν τοιούτων πάντων τελεσθεισῶν D, τῶν πάντων τοίνυν τελειωθέντων ἔργων C (15) στὰς om. CQ/ ἐξουθένησε πάντας τοὺς θεοὺς D, (16) τοὺς θεοὺς τῆς γῆς καὶ τοὺς ἐν 'Ολύμπῳ καὶ θαλάσσᾳ Q/ μόνο ἕνα θεὸν CD/ ἀκατανόητον om. C (17) τὸν ἐπὶ CD (19) post θεῶν add. εἶπε C (20) σύνεργός μου C/ post μέλλω add. καὶ βοηθὸς D (22) Φίλιππος δὲ Αἰγυπτίων προστέτακτο C (23) προσέταξεν D/ 'Αλέξανδρον R (25) καὶ δὴ συναθροίσας πάντα τὰ στρατόπεδα DQ, καὶ δὴ συναριθμήσας 'Αλέξανδρος πάντα τὰ στρατόπεδα αὐτοῦ C

ἐνδοτέρων⌋ ἐθνῶν· καὶ πάντα τὰ ἔθνη ἐδούλουντο καὶ φόρους αὐτῷ ἐδίδοσαν· καὶ οὐκ ἦν ὁ ἀνθιστάμενος τούτῳ, ὅτι πάντες αὐτὸν ἐφοβήθησαν. διελθὼν δὲ τὴν ὑφ' ἥλιον πᾶσαν, οὐκ ἦν οἰκεῖσθαι τὴν γῆν ἔτι. κελεύει οὖν πάντα τὸν λαὸν ἀπαρτισμὸν ἑξαμηνιαίου χρόνου βαστάσαι, ὡς ἂν τῇ ἀοικήτῳ ἐπιβῆναι βουλευσάμενος. τούτου δὲ γενομένου ὡσεὶ πορείαν ἡμερῶν δέκα ἐμπεριπατήσαντες ἐν ἐρήμοις καὶ λείοις κατήντησαν τόποις. καὶ ἰδοὺ γυναῖκες ἄφνω ἐφάνησαν φοβεραὶ τῷ εἴδει καὶ ἄγριαι τοῖς προσώποις, τὸ δὲ ὅλον σῶμα αὐτῶν τετριχωμένον ὡς ἂν τις εἴπῃ συῒ ἀγρίῳ. αἱ δὲ κόμαι τῆς κεφαλῆς αὐτῶν κατήρχετο μέχρι κνημῶν, οἱ δὲ ὀφθαλμοὶ αὐτῶν δίκην ἀστέρων κατέλαμπον. οὐχ ὡς δὲ παντὸς ἀνθρώπου εἶχον τὴν θέασιν, ἀλλὰ κατήρχοντο ἀπὸ μετώπου ἐπὶ τὸ πρόσωπον, αἱ δὲ ὄνυχες αὐτῶν εὐμήκεις ἀνὰ πήχεως μιᾶς καὶ οἱ πόδες αὐτῶν ὡς ὀνάγρου, τὸ δὲ μέγεθος τοῦ σώματος αὐτῶν ὡς ἀνδρῶν μεγίστων τριῶν. ὡς δὲ ταύτας ἐθεάσαντο καὶ ἀσκόπως ἐπέδραμον αὐταῖς, ἀνθυποστρέψασαι ἀνεῖλον ἐκ τῶν στρατιωτῶν τέσσαρας τοῖς ὄνυξιν διασπαράξαντες καὶ πορευθεῖσαι τούτοις κατεθοινήσαντο ἐπ' ὄψεσιν ἡμῶν, ὥστε καὶ τὸν χοῦν ἔνθα τὸ αἷμα αὐτῶν ἐπεπήγει ἐξέλειξαν. θαυμαζόντων δὲ πάντων ἡμῶν καὶ ἀπορουμένων ἐπὶ τῇ τοιαύτῃ θεωρίᾳ ἰδοὺ εἰς πλῆθος ἐφαίνοντο καὶ τῇ φάλαγγι ἐπιβᾶσαι μήκοθεν ταῖς χερσὶν ἐκτετακυῖαι ἥρπαζον τοὺς στρατιώτας ἐκ μέσου τῆς φάλαγγος καὶ κατεθοινοῦντο αὐτούς. εἰς παντελῆ δὲ ἀπόγνωσιν πάντες ἦλθοσαν· ⌊καὶ δὴ 'Αλέξανδρος διανοεῖται καὶ κύνας πλείστους⌋ ἐκ τοῦ φοσσάτου ἐπισυνάξας - πάνυ γὰρ ἐν τῷ κυνηγεῖν πλήθη κυνῶν

(1) ἐδούλουντο RQ, κατεδουλοῦτο D, ἐδουλῶτο C (2) ἀνθιστάμενος αὐτῷ C (11) κατήρχετο R(Q), κατήρχοντο CD/ μέχρι τῶν κνημῶν αὐτῶν C (12) οὐχ ὡς – 14 τὸ πρόσωπον mirum (13) θέασιν RC, θέαν D, θέσιν Q/ τοῦ μετώπου CD (14) αἱ δὲ RDQ, οἱ δὲ C/ εὐμήκεις explicatio recensionis γ (15) πόδες αὐτῶν ὡς ὀνάγρου, τὸ δὲ μέγεθος τοῦ σώματος αὐτῶν ὡς ἀνδρῶν μεγίστων(μεγεθεστάτων D) τριῶν CD(Q), πόδες αὐτῶν ὡς ἀνδρῶν μέσων τριῶν R (16) ὡς δὲ ταύταις οἱ στρατιῶται C (18) αὗται ἀνεῖλον D/ καὶ τούτους (om.R) διασπαράξαντες RD, διασπαράξασαι CQ (19) καὶ om.D/ πορευθεῖσαι RCD, παρευθὺ Q rectius| τούτους CD/ἐπ' ὄψεσιν ἡμῶν RCQ, ἐνώπιον πάντων τῶν στρατευμάτων 'Αλεξάνδρου D (20) ἔνθα – ἐπεπήγει RCD, τοῦ αἵματος αὐτῶν πεπηγότος Q/ ἐξέλειψαν C (21) ἡμῶν RC, αὐτῶν D/ ἀπορουμένων RCQ, διαπορούντων D (23) ἐκτετακυῖαι DQ, ἐκτετακυίαις RC (27) ἐπισυνάξας RDQ, ἐπισύναξε C/ πλήθη RDQ, πλῆθος C

ἕκαστος ἐκέκτητο – ἐπισυνάξας δὲ ἁπλῶς εἰπεῖν παντὸς τοῦ στρατοπέδου τοὺς κύνας ἐπικινεῖ πρὸς αὐτὰς 'Αλέξανδρος. αὗται δὲ τοὺς κύνας θεασάμεναι εἰς φυγὴν τρέπονται καὶ τὸ πλῆθος αὐτῶν ..πέχθη καὶ ἀνεῖλον ἐξ αὐτῶν ἱκανάς· αἱ δὲ λοιπαὶ ἔφυγον καὶ ἀφανεῖς ἐγένοντο. ἐκεῖθεν δὲ διασωθέντες διὰ ἡμερῶν τριάκοντα καταλιμβάνουσιν γῆν ἄμμον ἔχουσαν· διερχόμενοι δὲ τὴν αὐτὴν γῆν μύρμηκες ἀνελθόντες ἥρπαζον ἄνδρας καὶ ἵππους καὶ ἀνεχώρουν. πῦρ δὲ ὅμως ἐν τούτοις ἀνάψαντες τῆς τούτων διασώζονται βλάβης.

ἐκεῖθεν οὖν διελθόντες ποταμὸν κατελάβομεν παμμεγέθη, πλάτος αὐτῷ πορείας ἡμερῶν τριῶν· ἐλθόντες οὖν ἐπὶ τὸν ποταμὸν καὶ τοιοῦτον πέρας θεασάμενοι ἐν ἀμηχανίᾳ διῆγεν 'Αλέξανδρος.

3o

καθίσας γὰρ παρὰ τὴν ὄχθην ἐκεῖθεν τὸ φοσσάτον εἶπεν ἐμ παγῆναι. τούτου δὲ γεναμένου ὡς διενοεῖτο 'Αλέξανδρος τὴν τοῦ ποταμοῦ διάβασιν,ἐξαίφνης οὖν τὸ ὕδωρ ἐξηράνθη καὶ ἀντὶ ὕδατος ἄμμος ἐρρύη. ταῦτα δὲ ἰδὼν 'Αλέξανδρος τὴν τοῦ ποταμοῦ ἐπέγνω διάβασιν καὶ κελεύει κατασκευασθῆναι ἐκ ξύλων τετραγώνων ἄρκλας. τούτου δὲ γενομένου κελεύει αὐτὴν βληθῆναι ἐν τῇ ῥοῇ τοῦ ποταμοῦ· ὡς δὲ τὴν πρώτην ἵεσαν,λίθοις αὐτὴν εἶπε γεμισθῆναι· τούτου δὲ γενομένου ἀμετακίνητος ἔμεινε καὶ στερεά. ἐν δὲ τῇ δευτέρᾳ διαπορούμενοι κελεύει ἐνεχθῆναι ξύλα εὐμήκη, ὡσεὶ ὀργυιῶν τεσσάρων(ἢ καὶ ἕξ)καὶ τεθῆναι αὐτὰ ἐν τῇ πρώτῃ ἄρκλᾳ,διαχωρίσαι δὲ τὴν δευτέραν ἄρκλαν· καὶ νῦν τιθέασιν ἐπάνωθεν τῶν ξύλων καὶ ἀκοντίσαντες αὐτήν·

(1) ἁπλῶς εἰπεῖν πάντας τοὺς κύνας ἐπικινεῖ C
(2) ἐπικινεῖ τούτους D (3) κύνας θεασάμεναι καὶ τὴν ὑλακὴν αὐτῶν ἀκηκοῶσαι(nota formam miram) εἰς φυγὴν τρέπονται· τοιγαροῦν καὶ ταύτας καταδιώξοντες τὰ πλήθη τῶν στρατευμάτων ἀνεῖλον· αἱ δὲ λοιπαὶ κτλ. D
(4) τὸ πλῆθος ἐπάχθη C, τὸ πλῆθος αὐταῖς ἐπεχύθη Q
(6) δι'CDQ (7) τὴν γῆν ἐκείνην C
(8) ἐξαίφνης ἀνελθόντες D/ ἵππους καὶ ἄνδρας CD
(1o) διασώζονται βλάβης θαυμασίως· τὰ πάντα δι..θ.. . 'Αλέξανδρος ὡς ....ης αν προνοίας ..... ἐκεῖθεν οὖν D
(11) κατέλαβον CDQ (12) αὐτῷ RD, αὐτοῦ C/ πορείας DQ, πορεία C, om. R/ ἐλθόντες RDQ, διελθόντες C
(13) πέρας R, τέρας CD, καὶ τοιοῦτον πέρας θεασάμενοι om. Q/ ἐν ἀμηχανίᾳ πολλῇ C

(15) καθίσας οὖν παρὰ τὴν ὄχθην 'Αλέξανδρος C, ὅμως καθίσας παρὰ τὴν ὄχθην τοῦ αὐτοῦ ποταμοῦ D
(16) γενομένου CDQ/ ὁ 'Αλέξανδρος CD
(18) τοῦτο C (19) σαφῶς ἐπέγνω D (2o) post ἄρκλας perg. C καὶ βληθῆναι ἐν τῇ ῥοῇ τοῦ ποταμοῦ κτλ.
(21) αὐτὴν (sc. τὴν πρώτην ἄρκλαν) βληθῆναι παραυτίκα D
(22) ἴεσαν RCQ, εἰσῆξαν D/ καὶ τούτου γενομένου C
(24) διαπεραιούμενοι Mueller
(25) ὀργίων RC, οὐργιῶν DQ/ ἢ καὶ ἕξ est v.l.ad τεσσάρων/ ἢ R: ὀκτώ D (26) διαχωρίσαι δὲ (om. Q) τὴν δευτέραν ὀργυιὰς τέσσαρας· ἐνέγκαντες δὲ καὶ (om. DQ) τὴν δευτέραν ἄρκλαν κενὴν (καὶ αὐτὴν Q) τιθέασιν ἐπάνωθεν κτλ. CDQ

κατῆλθεν ἐν τῇ ῥοῇ τοῦ ἄμμου ἀπέχουσαν τῆς πρώτης ὀργυιὰς τέσσαρας· εὐθέως δὲ καὶ ταύτην λίθοις ἐγεμίσαντο· ἔμεινεν δὲ καὶ αὕτη στερεὰ καὶ ἀμετακίνητος. ὡσαύτως καὶ τὴν τρίτην καὶ τὰς λοιπὰς ποιήσαντας λοιπὸν γεφυροῦσιν τὸν ποταμὸν καὶ περᾷ πᾶς ὁ λαὸς δι'ἡμερῶν ἑξήκοντα ἕξ. ὃν διαβὰς 'Αμόρρουν ποταμὸν τοῦτον ἐκάλεσεν· τρεῖς γὰρ ἡμέρας ὕδωρ ἦν ῥέον καὶ τρεῖς ἡμέρας ἄμμον.

31

διελθόντες δὲ τὸν ποταμὸν κόσμον ἄλλον κατελάβομεν,ἀνθρώπους μὲν εὑρόντες εὐτελεῖς καὶ λίαν σμικροτάτους,ὡς εἶναι τὸν τέλειον ἄνθρωπον οὐχὶ ἀλλὰ πῆχυν μίαν τε καὶ ἥμισυ. ὡς δὲ ἐθεάσαντο,ἦλθον πρὸς ἡμᾶς γονυπετοῦντες ἵλεων γενέσθαι αὐτοῖς· ἐπὶ τούτοις 'Αλέξανδρος ἐμβλέψας εἰς τὴν αὐτῶν ταπείνωσιν ἀπέστειλεν αὐτοὺς εἰρήνην εἰπών· ἄπιτε,μηδεμίαν παρ'ἡμῶν ἐκδεχόμενοι βλάβην . ἐκεῖθεν οὖν διατρίψας ἱκανὰς ἡμέρας ὥρμησεν πάλιν τὴν ἀοίκητον γῆν καὶ διὰ ἡμερῶν δέκα φθάνει τινὰ πεδινὸν τόπον⌞τῷ τε μήκει καὶ πλάτει ἀνείκαστον· ἐν αὐτῷ δὲ ἀναπαῦσαι τὸν στρατὸν ἔδοξε⌟ καὶ περιβλεπόμενος ὕδωρ ἐζήτει· καὶ δὴ ὁρᾷ λίμνην· ἐγγὺς δὲ ταύτης γενόμενος ὁρᾷ στήλην παμμεγέθη ἐν πέτρᾳ ἐκ ψήφων ἐνιδρυμένην. ὡς οὖν εἶδεν, εὐθέως πλησίον ταύτης ἐγένετον. ἡ δὲ στήλη γράμμασιν 'Ελληνικοῖς ἐπεφέρετο,ἡ δὲ γραφὴ τῆς στήλης ἐνέργειαν ἐδήλει τοιαύτην, Σεσογχόσου τινὸς νῦν κοσμοκράτορος· τὸ δὲ ὁμοίωμα ἦν ἀνδρὸς νεαροῦ τὰ πάντα 'Αλεξάνδρου ἀφομοιώμενον· ἐγγράφει δέ· μέχρι τῶν ἐκεῖσεν καταλαβεῖν τις τῶν

(1) τῆς ἄμμου D, τοῦ ποταμοῦ C/ deb. ἀπέχουσα/ post πρώτης add. ὡς εἴρηται D (2) παραχρῆμα D/ λίθοις om. C/ ἐγεμίσαντο RC, γεμίσαντες DQ (3) δέ om. DQ (4 (4) post τρίτην add. καὶ τὴν τετάρτην CDQ/ ποιήσαντες CD/ λοιπόν RC, ὡς ἐνβραχύ D (5) ἔνθεντοι καὶ περᾷ πᾶς ὁ στρατὸς 'Αλεξάνδρου D/ ἑξήκοντα ἕξ RD, τριῶν C, ἑξήκοντα Q (6) ὅντινα D (7) καὶ τρεῖς ἄμμον C (8) τὸν αὐτὸν ποταμόν D, διελθὼν δὲ τὸν Αμμόρουν ποταμὸν 'Αλέξανδρος C/ κατελάβομεν R, κατέλαβον DQ, κατέλαβεν C (9) εὑρόντες ἐκεῖσε(om. R) DR, εὗρεν C/ ὡς εἶναι τὸν τέλειον ἄνθρωπον πῆχυν ἕνα καὶ ἥμισυ Q melius (1o) μίαν om. C, πῆχυν μίαν πρὸς τὸ ἥμισυ D (11) ἐθεάσαντο τούτους D/ πρὸς ἡμᾶς RQ, πρὸς αὐτοὺς D, πρὸς 'Αλέξανδρον C/ γονυπετοῦντες καὶ λέγοντες CQ, γονυπετοῦντες καὶ παρακαλοῦντες D (12) ἵλεων RCQ, ἵλεως D (13) ἑαυτῶν ταπείνωσιν C/ πρὸς αὐτοὺς D (14) ἄπιτε οὖν DQ/ quas Q breviter deinde praebet res ab Alexandro apud illos homines factas,γ omittit.

(15) ἐπὶ τὴν D (16) εἴς τινα D (17) τῷ πλάτει C (18) ἔδοξε δὲ αὐτὸν ἐν αὐτῷ τὸν στρατὸν διαναπαῦσαι· ὅς καὶ περισκοπήσας ὕδωρ ἐζήτει D (2o) παμμεγέθη σφόδρα C/ ἐκ ψηφίδων D/ ὡς - 21 ἐγένετον om. C (21) εὐθέως om.D/ παραχρῆμα ἐγένετο D (23) ἐδήλου C/ κοσμοκράτορος DC, κοσμοκράτωρ R | σεσονχός. ἧς ἐγὼ κοσμοκράτορος (sic) D (24) 'Αλεξάνδρῳ C | ἀφομοιούμενον C (25) ἐκεῖσεν: sic γ| fuit fere:

μέχρι τῶν ἐκεῖσε καταλαβεῖν δυνήσεταί τις τῶν ἀνθρώπων, ὅς πᾶσαν περιῆλθε γαῖαν· τῶν ἐπέκεινα δὲ μὴ δυνήσεται διελθεῖν, ὡς κἀγὼ ἀπορήσας οὐκ ἐδυνήθην διέρχεσθαι. haec in orationem obliquam male transposita sunt.

ἀνθρώπων, ὃς πᾶσαν περιελθὼν γαῖαν· τῶν ἐπέκεινα δὲ μὴ δύνασθαι ἐλθεῖν, ὡς κἀμὲ ἀπορήσαντα μὴ δυνηθῆναι διέρχεσθαι. ἀνθυποστρέψας δὲ ἐνταῦθα τοῦ ζῆν ἐξίεμαι Σεσόνχοσις ἐγὼ κοσμοκράτωρ. ταῦτα ἀναγνοὺς 'Αλέξανδρος εὐθέως τὴν γραφίδα περιεκάλυψεν πέπλοις, δῆθεν τὴν εἰκόνα τιμῶν· τοῦτο δὲ ποιεῖ διὰ τὸ μηδένα τῶν Μακεδόνων τοῖς γράμμασιν ἐντυχεῖν καὶ δειλία ἑαυτοὺς καταλάβῃ· ἔλεγε μᾶλλον χρησμὸν ἐκ τῆς εἰκόνος δέξασθαι· "ἐὰν τῶν ὧδε διέλθῃς, 'Αλέξανδρε, ἕτερον κόσμον εὑρήσεις κρείττονα, ὃν ἕτερον οὐ διῆλθες." ταῦτα δὲ ἔλεγεν, ἵνα τὸ στρατόπεδον προθυμότερον ἀπεργάζοιτο. διατρίψας οὖν ἐκεῖσε ὅμως ἡμέρας τρεῖς, ἀπάρας ᾤχετο τῆς ὁδοιπορίας.

33

καὶ δι' ἡμερῶν δέκα ἐμπεριπατοῦντος καταλαμβάνει τόπους πάνυ λείους. ὡς δὲ αἱ φάλαγγες ἐκεκτάνθησαν τῇ πεδιάδι, Μακεδόνες ἐπισπαρέντες, ἄνθρωποι τούτοις ἐμφαίνονται ἄγριοι, ἐπὶ πετρῶν καθεζόμενοι, γυμνοὶ μέν, δασεῖς δέ, φοβεροί, εὐμεγέθεις, μέλανες, ἀλλ' οὐ κατὰ κράτος. τρίχες δὲ αὐτοῖς χονδραὶ τεταμέναι, μέγεθος ἑκάστῳ παντὸς ἀνδρὸς ὑψηλότερος. ἅμα δὲ Μακεδόνες ἐπεισέρχονται αὐτοῖς· αὐτοὶ ἐκ τόπου εἰς τόπον μεταβαίνοντες ἐκάθευδον καὶ τὸν σκοπὸν ἐν ταῖς φάλαγξιν εἶχον. ἐλθόντες δὲ Μακεδόνες ταῦτα τῷ 'Αλεξάνδρῳ ⌞λέγουσιν. ὁ δὲ 'Αλέξανδρος τῆς φάλαγγος⌟ ἐξελθὼν κατέλαβεν,

(1) δὲ om.C (2) προέρχεσθαι C (5) ὡς δῆθεν CDQ/ τοῦτο δ' ἐποίει C (7) καὶ: malim μὴ/ ἔλεγε δὲ μᾶλλον CD/ ante χρησμὸν add. D ἐπιστηρίζων αὐτοὺς ὡς (9) κρείττονα τῶν,ὧν διῆλθες ἁπάντων D, κρείττονα,ὃν ἄλλος οὐ διῆλθε τῶν ἀνθρώπων C (11) ἡμέρας τινὰς D/ τῆς ὁδοῦ C

(12) post ὁδοιπορίας haec e recensione β interponit C·

(cap. 32)

καὶ δὴ παραλαβὼν 'Αλέξανδρος πλείονας ὁδηγοὺς ἠθέλησε εἰσελθεῖν εἰς τὰ ὀπίσω μέρη τῆς ἐρήμου κατὰ τὴν ἄμαξαν τοῦ πόλου. ἐκεῖνοι δὲ ἔλεγον ἐν ἐκείνοις τοῖς τόποις ἀνθρώπους ἀγρίους καὶ θηρία πονηρὰ τερατώδη εἶναι. ὡς οὖν ἤθελεν 'Αλέξανδρος μαθεῖν τοὺς τόπους τούτους καὶ τοὺς ἀνθρώπους θεάσασθαι,καὶ δι'ἡμερῶν δέκα ἐμπεριπατήσας καταλαμβάνει τόπον τινὰ φαραγγώδη,οὗ ἦν ὁδὸς φάραξ (sic) βαθυτάτη,ἣν ὥδευσεν ἡμέρας ὀκτώ,θεωρῶν ἐρήμους τόπους καὶ θηρία,ἄλλα καὶ ἄλλα γένη. ἐλθὼν οὖν εἴς τινα τόπον περὶ ὥραν ἐνάτην τῆς ἡμέρας εὗρεν ὕλην πολλὴν δένδρων,καλουμένην 'Αναφνήτων,καρπὸν ἐχόντων μήλοις παρεμφερῆ. ἦσαν δὲ ἐν τῇ ὕλῃ ἄνθρωποι παμμεγέθεις,τὸ ὕψος ἀνὰ πήχεις εἴκοσι τέσσαρας,μακροὺς δὲ τραχήλους ἔχοντες, τὰς χεῖρας καὶ τοὺς πόδας πριόσι παρεμφερεῖς,οἵτινες ἐπεισῆλθον τῷ στρατοπέδῳ αὐτοῦ. ὁ δὲ 'Αλέξανδρος λίαν ἐλυπήθη ἰδὼν τοιαῦτα ζῷα. ἐκέλευσεν οὖν συλληφθῆναι ἐξ αὐτῶν· ὁρμησάντων δὲ αὐτῶν πρὸς ἐκείνους μετὰ κραυγῆς καὶ σαλπίγγων.ἰδόντες αὐτοὺς εἰς φυγὴν ὥρμησαν. ἐφόνευσαν δὲ ἐξ αὐτῶν οἱ στρατιῶται τριακοσίους τριάκοντα δύο, ἐκ δὲ τοῦ στρατοπέδου αὐτοῦ ἔθανον ἑκατὸν ἑξήκοντα πέντε. ἔμεινεν οὖν ἐκεῖ σὺν τῷ στρατῷ,ἐσθίοντες τοὺς καρπούς· αὐτοὺς γὰρ εἶχον μόνον τροφήν.

(13) ἐπεριπατοῦντος R, ἐμπεριπατήσας D, ἐκεῖθεν οὖν ἀναχωρήσας 'Αλέξανδρος καταλαμβάνειC (14) ἐπεκτάνθησαν RD, ἀπεκτάνθησαν C, ἀπετάθησαν Q/ καὶ τῇ πεδιάδι D (16) ἐν μεγέθοις R (17) τρίχες CD, τρίχαι RQ (18) ἑκάστου πηχέων τεσσάρων,ἰσχυροὶ λίαν,ἑτοιμότατοι πολεμεῖν· ἅμα δὲ καὶ C/ ὑψηλότερον D (19) ἐπεισήρχοντο D αὐτοὶ RDQ , ἐκεῖνοι δὲ C (2o) μεταβαίνουσιν omisso ἐκάθευδον Q | ἐκάθευδον RDC , ἐκαθέσθησαν (hic et p.24o,1) Rohde (21) ἐν ταῖς φάλαγξιν: in interpodiis?

ἔνθα οἱ ἄνδρες ἐκάθευδον· καὶ τὸν σκοπὸν ἐν ταῖς φάλαγξιν ἔχοντας, πάνυ δὲ ἀμερίμνως σκοποῦντες, κελεύει κόρην εὐειδῆν ἐνεχθῆναι· ἐνεχθείσης δὲ λέγει αὐτῇ 'Αλέξανδρος· "πρὸς τὸν ἄνθρωπον πλησιάσαι, ὅπως ἴδῃς τὴν τοῦ ἀγρίου ἀνδρὸς ἐκείνου διάθεσιν, εἰ ὅλως ἀνθρωπίνη φύσις ἐν αὐτῷ ἐστιν." ἡ δὲ γυνὴ πλησίον αὐτοῦ γενομένη, ὡς περιστραφεὶς εἶδεν αὐτήν, εὐθέως ἀνίσταται καὶ λαβόμενος αὐτὴν ἤρξατο κατεσθίειν. 'Αλέξανδρος δὲ ἰδὼν κελεύει διὰ τάχους τοῖς στρατιώταις ταύτην ἐξελέσθαι τοῦ θηρός. οἱ δὲ στρατιῶται ἐπιδραμόντες αὐτῷ, οὐκ ἐφρόντισε τὸ σύνολον περὶ αὐτῶν, ἀλλὰ τὸ στόμα αὐτοῦ ἐπὶ τῶν μηρῶν τῆς κόρης ἔχων δίκην κυνὸς αὐτὴν κατήσθιεν. εἷς δὲ τῶν στρατιωτῶν τῷ δόρατι τοῦτον πλήξας, καταλιπὼν τὴν κόρην ἡμιθανῆ ἔτρεχεν καὶ φωνῇ κυνικῇ ἔλεγεν· οἱ δὲ λαβόμενοι τὴν κόρην πρὸς 'Αλέξανδρον ἤνεγκαν καὶ τῇ φάλαγγι ἀπεκόμισαν. παραχρῆμα δὲ πλήθη ἐμφαίνονται ἄπειρα ἐκ τῶν ἀγρίων ἀνθρώπων ἐκείνων, ξύλα ταῖς χερσὶν ἔχοντες ἕκαστος καὶ λίθους, καὶ τῇ προτέρᾳ πλησιάσαντες φάλαγγι γενναίως ἐμάχοντο. ὡς δὲ 'Αλέξανδρος ἐθεάσατο, κελεύει τοῖς ὁπλίταις ἅμα καὶ τοξευταῖς πρὸς μάχην παραστήσασθαι. πολέμου δὲ συγκροτηθέντος, ὡς ἄν τις ἐξ αὐτῶν ἐτιτρώσκετο, εὐθέως ὑπὸ τῶν ἑτέρων διεμερίζετο καὶ κατησθίετο. καὶ ὅσον ὁ πόλεμος συνήπτετο, τοσοῦτον εἰς πλῆθος ἐγίνοντο, καὶ ἐπικρατέστεροι μᾶλλον καὶ προθυμότεροι. δειλία δὲ Μακεδόνας κατέλαβεν, φόβος γὰρ καὶ τρόμος εἶχεν αὐτούς. 'Αλέξανδρος δὲ εἱστήκει ἐννοῶν, πῶς αὐτοὺς τροπώσηται. ἐπὶ πάσαις οὖν ταῖς συμβολαῖς τριάκοντα στρατιῶται ἀνῃρέθησαν, ἐξ αὐτῶν δὲ πλήθη πολλά,

(1) οἱ τοιοῦτοι ἄνδρες D/ post ἐκάθευδον perg. CD ἐντεῦθεν ὡς (ὡς οὖν C) εἶδεν αὐτοὺς πάνυ ἀμερίμνως περὶ αὐτῶν (αὐτὸν C) ἔχοντας καὶ μόνον ταῖς φάλαγξιν σκοποῦντες (sic) κελεύει (2) deb. σκοποῦντας/ εὐειδῆ CDQ (3) ὁ 'Αλέξανδρος C (4) πρός τινα ἐξ αὐτῶν πλησίασε C/ ἴδῃς R, ἴδοις D, ἴδῃ C/ ἀγρίου om. CD (5) διάθεσιν RDQ, θέασιν C/ διάθεσιν ἀγρίου ὄντος εἰ ὅλως ἀνθρωπίνη φύσις ἐστὶν ἐν αὐτῷ D (6) γεναμένη C/ post γενομένη perg.D εὐθέως ἀνίσταται καὶ περιστραφεὶς οὑτοσὶ καὶ ταύτης ἐπιλαβόμενος ἤρξατο ταύτην κατεσθίειν (7) κατεσθίειν ἤρξατο C (8) τοῦτο ἰδὼν D/ κελεύει τοῖς στρατιώταις διὰ τάχους CD (9) ἑλέσθαι CDQ (12) κυνὸς CDQ, τινὸς R /αὐτὴν RCQ, ταύτην D (14) κυνὸς φωνῇ ἐλάλει C/ ἔλεγεν R, ἐκραύγαζεν D, ἔκραζεν Q/ οἱ δὲ τὴν κόρην ἐπιλαβόμενοι D (15) ἤνεγκαν RDQ, ἤγαγον C (17) ἕκαστος om. C/ τῇ πρώτῃ C (19) ἐθεάσατο τὸ συμβάν, παραυτίκα κελεύει D/ ἅμα τοῖς ὁπλίταις C (20) παρατάξασθαι C/ ἔνθεντοι καὶ πολέμου συγκροτηθέντος, ὅστις ἄρα ἐξ D (24) τοιγαροῦν καὶ δειλία τοὺς Μακεδόνας D/ γάρ om. CQ (25) κατεῖχεν D (26) πῶς ἂν CDQ/ ταῖς προσβολαῖς καὶ ταῖς συμβολαῖς D (27) ἀνῃρέθησαν στρατιῶται DQ

ἀλλ' ὅσον ἀπέθνησκον,ἐπὶ πλεῖον ἐπισυνήγοντο καὶ μειζόνως ἐθρασύνοντο. ὁ δὲ φρενήρης 'Αλέξανδρος προστάσσει ἄφνω πῦρ ἀνάψαι καὶ ἐπιδραμὼν ἐπ'αὐτούς· ὡς δὲ εἶδον τὸ ἀσύνηθες τοῦ θαύματος,εὐθέως εἰς φυγὴν τρέπονται· καὶ καταδιώκουσιν ἅπαν τὸ πλῆθος τῶν στρατευμάτων καὶ οὐ κατέλαβον ἐξ αὐτῶν οὐδένα· ἦσαν γὰρ κουφοὶ τοῖς ποσὶν δίκην χελιδόνος χαμαὶ ἱπταμένης. μόλις δὲ 'Αλέξανδρος τῷ Βουκεφάλῳ ἐποχούμενος ἵππῳ καταφθάναι παιδὸς ἑνὸς καὶ τούτου γενόμενος ἐγκρατὴς ἄγει ἐπὶ τὸ στράτευμα. ἦν δὲ χρόνων τὸ δοκεῖν ὡσεὶ δώδεκα,ἀλλ'ὑπῆρχεν ὑπεράνω παντὸς ἀνδρός.

τῆς δὲ νυκτὸς ἤδη καταλαβούσης καὶ τοῦ φοσσάτου σκηνοποιοῦντος τὰ πρὸς ἀνάπαυσιν ἦσαν εὐτρεπιζόμενοι. ἦσαν γὰρ ἐκ τοῦ πολέμου κεκοπιακότες,δεινῶς δὲ ἔχοντες πρὸς 'Αλέξανδρον ἦλθον λέγοντες· "μηκέτι,βασιλεῦ 'Αλέξανδρε, τὰ πρόσω χωρεῖν· οὐ γὰρ δυνησόμεθα τοιούτοις ἀνθρώποις διεξελθεῖν· καὶ μήπως τῆς τύχης ἡμᾶς καταλάβῃ τὸ πέρας, ὁπόταν κόσμον ὑπετάξαμεν· μήπω κορεσθέντες ἑαυτοὺς βορὰν οὐκ ἀνθρώπων ἀλλὰ θηρίων πεποιήκαμεν· καὶ τοῦτο ἡμῖν διπλοῦν τὸ κακόν,ὅτι οὐδὲ μνήμη ἡμῶν ἐν κόσμῳ γενήσεται." ἐπὶ τούτοις ἀγανακτήσας 'Αλέξανδρος ἔφη· "οὐκ ἐμὸν τὸ ἀντιστρέφεσθαι,ἀλλὰ τῇ τύχῃ δοτόν· καὶ γὰρ πολλάκις βουληθεὶς τοῦτο οὐ συνεκεχώρημαι· χρεὼν δέ ἐστιν ἡμῖν καθυπείκειν τῇ τύχῃ καὶ μηδεὶς ἀναβαλλέτω." ἐπὶ τούτοις πάντες ἐσίγησαν ἐπιδώσαντες ἑαυτοὺς τῇ τύχῃ.

(1) καὶ ὅσον C/ συνήγοντο C (3) πῦρ ἄφνω ἀνάψαι C/ ἐπιδραμὼν γ, ἐπιδραμεῖν Q/ ὡς οὖν C/ εἶδον οἱ τοιοῦτοι D (4) θαύματος γ, θεάματος Q (5) καταδιώκουσιν αὐτοὺς D, καταδιώκουσιν ὄπισθεν C/ καὶ om. C (6) κουφοὶ καὶ εὔδρομοι D (8) Βουκεφάλῳ ἵππῳ D/ ἑνὸς παιδὸς C, παιδίου ἑνος D (9) ἄγει αὐτὸν C (10) ἀλλ'οὗτος αὐτὸς D/ παντὸς ἀνδρὸς RDQ, παντὸς ἀνθρώπου C (11) post ἀνδρὸς add. ὑψηλότερος καὶ μετέωρος D (13) πάντες εὐτρεπιζόμενοι (εὐτρεπίσμενοι C) CDQ (16) τὰ πρόσω χωρεῖν ἡμᾶς (om. RC) RCD, προσχωρεῖν Q/ οὐ γὰρ CDQ, ἡ γὰρ R/ τοιούτους ἀνθρώπους DQ, τοιούτους τόπους C (18) ὁπόταν RDQ, ὁπότε C/ τὸν κόσμον D/ βορὰν RCQ, θήραν D (22) δοτὸν = datum (23) συγκεχώρημαι CDQ (24) ἀμφιβαλλέτω D/ τῇ τύχῃ - 25 τύχῃ om. Q (25) τῇ τύχῃ κατὰ βουλὴν 'Αλεξάνδρου D

34

ἕωθεν οὖν ἀναστὰς τὴν ὁδοιπορίαν ἐποιεῖτο. διελθὼν δὲ τὴν τῶν ἀγρίων ἀνθρώπων ἐκείνων χώραν δι' ἡμερῶν πέντε εἰς ἑτέραν κατελάβομεν γῆν, ἔνθα στῆλαι εἱστήκεισαν δύο χρυσαῖ, ἡ μία μὲν ἀνδρός, ἡ δὲ ἑτέρα γυναικός· ἃς περιτυχὼν 'Αλέξανδρος ἔφη· " 'Ηρακλέως στῆλαι αὗται καὶ Σεμιράμεως."

ἐν ἐκεῖσε οὖν διελθόντες ὀλίγον τι καὶ τὰ Σεμιράμεως εὗροσαν βασίλεια, ἀοίκοτα δέ. εἰσῄει οὖν 'Αλέξανδρος εἰς αὐτὰ μετὰ τοῦ Μακεδονικοῦ στρατοῦ καὶ μόνου, Πέρσαι δὲ καὶ Αἰγύπτιοι πέριξ διανεπαύσαντο ἡμέρας τρεῖς.

καὶ τῶν ἐκεῖσε ἐξελθόντες δι' ἡμερῶν δέκα εὑρίσκει ἀνθρώπους ἑξάχειρας καὶ ἑξάποδας, πλῆθος δὲ ἀναρίθμητον καὶ οἱ πάντες γυμνοί, οἵτινες ἰδόντες τὸ πλῆθος τῆς φάλαγγος ἔδοξαν συνάγεσθαι. ὡς εἶδεν 'Αλέξανδρος, ἐκέλευσεν πῦρ ἀνάπτειν καὶ ἐπέρχεσθαι αὐτοῖς. τούτου δὲ γενομένου εὐθέως πάντες ἔφυγον καὶ ἐν σπηλαίοις κάτωθεν εἰσῆλθον τῆς γῆς. κατεκράτησαν οὖν ἐξ αὐτῶν ἄνδρα ἕνα, θαῦμα μέγιστον ὡς ἦν αὐτὸν κατανοῆσαι. ἔχοντες δὲ αὐτὸν ὁδὸν ἡμέρας μιᾶς, διὰ τὸ μὴ εἶναι αὐτὸν μετά τινος συνδιαιτοῦντος αὐτῷ ἐξαίφνης συντρομάξαντα καὶ βοήσαντα ἀπέψυξεν. μετὰ οὖν ὁδὸν ἡμερῶν τριῶν κατελάβομεν χώραν κυνοκεφάλων. αὐτοὶ οὖν τὰ πάντα ἄνθρωποι ἦσαν, κεφαλὴ αὐτῶν πᾶσιν κυνὸς καὶ φωνὴ αὐτοῖς μέρος μέν τι ἀνθρώπινον, μέρος δὲ κυνός. οἵτινες παραταξάμενοι ἑτοίμως εἶχον πρὸς πόλεμον, ἀλλ' οὖν καὶ αὐτοὺς 'Αλέξανδρος τῷ πυρὶ ἐτροπώσατο. δι' ἡμερῶν δὲ ἐμπεριπατήσαντες δέκα μόλις τὴν τῶν κυνοκεφάλων διήλθομεν χώραν.

κατελάβομεν οὖν τόπον τινὰ παραθαλάσσιον· κἀκεῖ ἄπλικτον ποιησάμενοι ἔδοξε τὸν στρατὸν ἀναπαῦσαι· κύκλοθεν τοῦ φοσ-

(2) ἀγρίων ἐκείνων ἀνθρώπων DQ, ἀγρίων ἐκείνων C (3) κατέλαβε CDQ (4) ἡ μὲν μία D, μία μὲν CQ (5) Ἡρακλέους αἱ στῆλαι D/ Ἡρακτέως (sic) αὗται στῆλαι· καὶ Σεμιράμεως εὕροσαν βασίλεια Q recte (6) τῶν ἐκεῖσε D, ἐκεῖσε C/ εὕροσαν pon. post ὀλίγον τι D/ καὶ om. C (7) ἀοίκοτα ὑπάρχοντα D/ ἀοίκοτα: deb. ἀοίκητα/ εἰς αὐτὰ RD, ἐντὸς C (8) καὶ μόνος Q (9) ἡμέρας τρεῖς ἐκδεχόμενοι τὸν Ἀλέξανδρον D (1o) ἔνθεντοι καὶ τῶν ἐκεῖσε δι' ἡμερῶν δέκα διεξελθόντες εὑρίσκουσιν D/ ἔτι ἑτέρους ἀνθρώπους C (11) δὲ om. CDQ (12) πάντες δὲ ἦσαν γυμνοὶ D/ post φάλαγγος add. C ἤρξαντο εἰς πλῆθος συνάγεσθαι· φοβερόν τι καὶ παράδοξον καὶ ξένον τοιούτους βλέπειν μόνον· καὶ οἵου σχήματος ἦσαν (13) ὡς οὖν εἶδεν Ἀλέξανδρος τούτους περισυνάγεσθαι, παραυτίκα κελεύει D, ὡς οὖν εἶδε τούτους Ἀλέξανδρος καὶ ὁρμὴν ἴσως γνωρίζων ἐκέλευσεν εὐθὺς C (14) post γενομένου perg. C οὐ φέροντες ὁρᾶν ἢ δέχεσθαι τὴν τοῦ πυρὸς δύναμιν εὐθέως αὐτοὶ ἅπαντες ἔφυγον καὶ δρομαῖοι ἐν σπηλαίοις (16) κρατήσαντες C/ ἕνα ἄνδρα D, ἕνα ζῶντα καὶ ἦν ἰδεῖν θαῦμα μέγιστον C (17) ἔχοντες δὲ τοῦτον ἅμα αὐτῷ ὁδὸν D/ καὶ διὰ τὸ CD (18) συντρομάξας καὶ βοήσας C (2o) κατέλαβον DQ, ὁ Ἀλέξανδρος κατέλαβεν C (21) ἡ δὲ κεφαλὴ ἑνὸς ἑκάστου τούτου κυνὸς D, πλὴν ἡ κεφαλὴ αὐτῶν ὑπῆρχε κυνὸς C (22) μέρος δέ τι κυνὸς D (23) εἶχον DQ, ὄχον R, ᾤχοντο C/ εἰς πόλεμον C (24) ἐτροπώσατο διώξαντες αὐτοὺς τὰ πλήθη C/ καὶ δι' ἡμερῶν D, καὶ δι' ἡμερῶν δέκα μόλις C (25) διήλθοσαν C, διῆλθον DQ/ post διήλθομεν χώραν perg. D καὶ πρὸς ἑτέρας ἀνθώρμησαν· τοιγαροῦν καὶ κατέλαβον τόπον τινὰ παραθαλάσσιον, κἀκεῖσε ἀπλίκιον ποιησάμενοι· ἔδοξεν Ἀλέξανδρον τὸν στρατὸν παραυτίκα διαναπαῦσαι, οἵτινες καὶ κύκλῳ τοῦ φοσσάτου καθοχυρώσαντες τοῖς ὅπλοις ἐκέλευσεν καὶ αὖθις ταῖς ἀσπίσι φρουρεῖν κτλ. et C καὶ καταλαβόντες τόπον τινὰ παραθαλάσσιον, κἀκεῖ ἔδοξε τὸν στρατὸν Ἀλέξανδρος ἀναπαῦσαι· καὶ τοῖς ὅπλοις ἐκέλευσε κύκλοθεν τοῦ φοσσάτου ταῖς ἀσπίσιν φρουρεῖν/ ταῖς ἀσπίσι fortasse glossa ad τοῖς ὅπλοις (26) ἄπλικτον: applicitum

σάτου καθοχυρώσαντες τοῖς ὅπλοις ἐκέλευσεν ταῖς ἀσπίσιν φρουρεῖν ὑπεράνωθεν τῆς διώρυχος. τινὸς δὲ ἵππου συνέβη τελευτῆσαι καὶ πρὸς θάλασσαν ῥιφῆναι· καρκίνος δὲ τῆς θαλάσσης ἀναδύς,τῷ χαλινῷ αὐτοῦ τὸν τεθνηκότα ἵππον ἁρπάσας τῇ θαλάσσῃ ἔδυ· καὶ ὁ λόγος ἦλθεν ἐπὶ ᾽Αλέξανδρον, αὐτὸς δὲ κελεύει πῦρ ἀνάπτεσθαι κύκλῳ τοῦ φοσσάτου εἰς πλῆθος. τούτου δὲ γενομένου τῆς τῶν ἐναλίων ζώων ἐπιδρομῆς λελυτρώμεθα.

35

ἐκεῖθεν δὲ διελθόντες καταντῶσιν εἰς τόπον τινὰ ἀλσώδη μέν,καλὸν δέ,παντοίων ὀπωρῶν καρπὸν ἔχοντα,παράλιος δὲ ἦν ὁ τόπος. ὡς οὖν εἶδεν ᾽Αλέξανδρος,κἀκεῖ διαναπαῦσαι τὸν στρατὸν παρακελεύεται· τοῦ δὲ φοσσάτου παγέντος ἐξήει ᾽Αλέξανδρος παρὰ τὴν θάλασσαν·καὶ δὴ ὁρᾷ νῆσον ἐν τῇ θαλάσσῃ ὡς ἀπὸ σταδίων ἓξ τῆς γῆς ἀπέχοντα· ἔδοξε δὲ αὐτὸν εἰσελθόντα τὴν νῆσον θεάσασθαι· κελεύει δὲ ξύλα ἐνεχθῆναι καὶ ναῦν κατασκευασθῆναι· καὶ διὰ πολλοῦ τοῦ τάχους οἱ Αἰγύπτιοι τὴν ναῦν κατεσκεύασαν. μέλλων δὲ ᾽Αλέξανδρος εἰσιέναι εἰς αὐτὴν καὶ πρὸς τὴν νῆσον πλεῦσαι,ἐκώλυσε τοῦτον Φίλων ὁ φίλος αὐτοῦ εἰπών· "μηδαμῶς τοῦτο ποιεῖν, ἀλλὰ πρῶτον ἐγὼ ἀπέλθοιμι καὶ τὴν νῆσον θεάσασθαι· καὶ εἰ μὲν σωθησόμενος ἐπανήξω,τότε καὶ σὺ ἐπιβὰς τὰ δοκοῦντά σοι ποίει." ἐπὶ τοῦτο ᾽Αλέξανδρος τῷ Φίλωνι ἔφη· "ἀλλ᾽ οὐδέ σε θελήσαιμι πρῶτον εἰσελθεῖν τὸν ἐμὸν φίλον,μήπως καὶ σὺ δυστυχήσειας· καὶ τίς μοι φίλος ἕτερος ἐν κόσμῳ ἢ τίς μοι τῇ σῇ παρηγορήσει λύπῃ;" ὁ δὲ Φίλων φησίν·

(2) διώρυχος RD, διώρυγος CQ/ ἵππου R, ἵππον CDQ (3) εἰς τὴν θάλασσαν C (4) ἀναδὺς καὶ D/ ἀναδὺς καὶ ἐκ τοῦ χαλινοῦ τὸν τεθνεῶτα ἵππον ἁρπάσας πάλιν τὴν θάλασσαν εἰσέδυ· καὶ οὗτοι πλῆθος ἐλθόντες, Μακεδόνες ἐδειλίασαν· ὡς δὲ ὁ λόγος κτλ. C (5) εἰσέδυ CD/ post ἔδυ add. Q ἐξῆλθον δὲ ἕτερα πλήθη πολλὰ καὶ ἥρπαζον τοὺς ἀνθρώπους καὶ τοὺς ἵππους (6) δὲ om. C/ κύκλοθεν τοῦ φοσσάτου CQ/ εἰς πλῆθος om. C (8) ἐλυτρώθησαν C, ἐρρύσθησαν D (9) εἴς τινα τόπον C/ ἀλσώδη γ, νησώδη Q (10) καλὸν δὲ RDQ, om. C/ hic incipit unum folium corruptum in D (παντοίων ὀπωρῶν - p. 248,8 ἀκούσας) / καρπὸν RDQ, καρποὺς C/ παράλιοι R (11) οὗτος ὁ τόπος D, ὁ τόπος ἐκεῖνος C/ εἶδεν 'Αλέξανδρος τοῦτον D (12) στρατὸν διακελεύεται πάντα C (13) 'Αλέξανδρος ὁ βασιλεὺς (om. RQ) RQC, om. D/ ἐν τῇ θαλάσσῃ ἐκείνῃ C (14) ἀπέχουσαν C (15) τὴν νῆσον αὐτὴν D/ post θεάσασθαι add. C(B) ἦν δὲ ἡ νῆσος τῶν Βραχμάνων ἤτοι τῶν 'Οξυδράκων· εἶχε δὲ αὐτοὺς ἡ νῆσος ἐκείνη οὐχὶ ὡς ὄντας πολεμιστὰς τῷ πλήθει, ἀλλὰ γυμνοσοφιστάς, ὑπὸ καλύβας καὶ σπήλαια οἰκοῦντας / κελεύει δὲ παραυτίκα D (16) ναῦ R/ ἔνθεντοι καὶ διὰ D (17) ναῦ R (18) ἐκπλεῦσαι C, ἀποπλεῦσαι D (19) ποιεῖν RDQ, ποίει, 'Αλέξανδρε βασιλεῦ C (20) πρῶτον φήσας D/ ἀπέλθω C/ καὶ ante τὴν om. C (22) ὁ βασιλεὺς (om. D) 'Αλέξανδρος CD (23) οὐδ' ἐγώ σε θελήσαιμι C/ τὸν ἐμοὶ πεφιλημένον CD (24) δυστυχήσειας RDQ, δυστυχήσῃς C/ ἕτερος ἐκ σοῦ C (25) παρηγορηγορήσει (sic) R, παρηγορήσεια D, παρηγορήσειεν λύπη C

"ὁ μὲν Φίλων ὁ φίλος τοῦ βασιλέως τελευτήσειεν, εὑρεῖν ἂν ἔχοι ὁ βασιλεὺς φίλον ἕτερον Φίλωνα· εἰ δὲ 'Αλέξανδρον συμβῇ παθεῖν τι τῶν ἀπροσδοκήτων, ὅλος ἐδυστύχησεν ὁ σύμπας κόσμος." ὡς οὖν ταῦτα εἶπεν ὁ Φίλων, εἰσέδυ τὴν ναῦν καὶ τῇ νήσῳ καταλαβὼν εὗρεν ἀνθρώπους ὁμοίους ἡμῶν κατὰ πάντα, τῇ 'Ελληνικῇ φωνῇ ἑαυτοὺς διαλεγομένους. θεασάμενος δὲ Φίλων εὐθέως πρὸς 'Αλέξανδρον ἀνθυποστρέφει τὰ τῆς νήσου διηγούμενος· ἀκούσας δὲ ταῦτα 'Αλέξανδρος ἔλαβεν μεθ' ἑαυτοῦ πεντήκοντα ἄνδρας καὶ εἰσῆλθεν εἰς τὴν ναῦν, 'Αντίοχον δὲ ἀντ' αὐτοῦ καταλιπὼν ἡγεῖσθαι τὸν στρατόν, μέχρις ἂν ὑποστρέφειεν, ἐν ἐκείνῳ προσκαρτερεῖν τῷ τόπῳ διὰ τὸ ἐπιτήδειον εἶναι εἰς διατροφὴν λαοῦ.

35A

ὁ δὲ 'Αλέξανδρος τὴν νῆσον καταλαβὼν εὗρεν ἀνθρώπους ὁμοίους αὐτῷ, γυμνοὺς δὲ τοὺς πάντας. ὡς οὖν εἶδον αὐτὸν οἱ ἐν τῇ νήσῳ, ἤλθοσαν πρὸς αὐτὸν ταῦτα λέγοντες· "τί πρὸς ἡμᾶς ἧκας, 'Αλέξανδρε; τί δὲ καὶ παρ' ἡμῶν λαβεῖν ἠθέλησας; γυμνοὶ ἡμεῖς πάντες καὶ παντελῶς οὐκ ἔχοντές τι, εἰ μὴ λόγων ἐνέργειαν. εἰ δὲ τούτου ἐπεθύμησας, τοῦτο πολέμου οὐ δέεται." ἔκπληκτος δὲ γενόμενος ὁ 'Αλέξανδρος ἐπὶ τῇ τοῦ ὀνόματος κλήσει ἔφη· "καὶ κρεῖσσόν ἐστιν λόγου οὐδὲν μὰ τὴν πρόνοιαν· κρείσσων γάρ ἐστιν λόγος εἷς ὑπὲρ χιλιάδος χρυσίου καὶ λίθων τιμίων."

§3 οἱ δὲ Βραγμᾶνες 'Αλεξάνδρῳ ταῦτα λέγουσιν· "ὀρεγόμενος σοφίας, 'Αλέξανδρε, ἦλθες πρὸς ἡμᾶς (ὅπερ πρῶτον ἀποδεχόμεθα Βραγμᾶνες) ὅτι ἐστὶν βασιλικώτερον ἐν τῷ βίῳ ἡμῶν; τοῦτο γὰρ ἠθέλησας μαθεῖν, βασιλεῦ 'Αλέξανδρε· ὁ φιλόσοφος γὰρ οὐ δεσπόζεται, ἀλλὰ δεσπόζει. ἄνθρωπος γὰρ

(1) ὁ μὲν RD, εἰ μὲν CQ/ βασιλέως 'Αλεξάνδρου C (2) ἔχοι D, ἔχῃ RC/ βασιλεὺς 'Αλέξανδρος C (3) παθεῖν RDQ, om. C (4) εἰδέδυ τῇ ναῦ (sic) R (5) ὁμοίους ἡμῖν CDQ (6) 'Ελληνίδι CDQ/ ἑαυτοὺς om.CQ (7) ὁ Φίλων CQ/ 'Αλέξανδρον τὸν βασιλέα παραγίνεται C/ ἀνθυποστρέφει καὶ τὰ τῆς νήσου ἅπαντα διηγούμενος τῷ 'Αλεξάνδρῳ D (8) διηγούμενος αὐτῷ C/ ὁ 'Αλέξανδρος D/ μεθ'ἑαυτὸν D (9) ναῦ R (1o) ἄχρις ἂν ὑποστρέφειεν πρὸς αὐτούς, εἰπὼν αὐτῷ· D (12) τοῦτον εἰς διατροφὴν τοῦ λαοῦ D (13) αὐτὸς δὲ τὴν νῆσον D, καὶ τὴν νῆσον καταλαβὼν ὁ βασιλεὺς 'Αλέξανδρος ἐθεώρησεν ὕλας πολλὰς καὶ δένδρα πολλὰ καὶ ὑπέρκαλα μετὰ καρπῶν παντοδαπῶν καὶ φοίνικας πολυπάχους (sic) καρπῶν γέμοντας, τὸ δὲ τῆς ἀμπέλου κλῆμα ἔχον βότρυας ἀναρίθμους, καλοὺς λίαν εἰς ἐπιθυμίαν· καὶ εὗρεν ἀνθρώπους ὁμοίους αὐτῷ, γυμνοὺς δὲ τοὺς πάντας περιβολῶν (sic) ὑπὸ τρώγλας καὶ σπήλαια κατοικοῦντας, ἔξω δὲ αὐτῶν μακρὰν ἀπὸ διαστήματος πολλοῦ εἶδε τὰς γυναῖκας αὐτῶν καὶ τὰ παιδία ὡς ποίμνια ἐν ἐκείνῳ τῷ τόπῳ νεμομένας· ὡς οὖν εἶδεν αὐτοὺς ὁ 'Αλέξανδρος οἱ ἐν τῇ νήσῳ ἅπαντες ἦλθοσαν πρὸς αὐτὸν ἐκεῖνοι C, cf.BL III5 (17) γυμνοί ἐσμεν C, γυμνοὶ γάρ ἐσμεν ἅπαντες D/ ἔχομεν C (18) τούτου R, τούτων D, τοῦτο CQ/ ταῦτα πολέμου οὐ δέονται (δέεται C) DC (19) ἔκπληκτος RDQ, ἔκτακτος C/ βασιλεὺς 'Αλέξανδρος C (2o) καὶ τί κρεῖσσον DCQ (21) in D hic incipit unum folium corruptum(πρόνοιαν - p. 25o,8 ἀπέστρεφεν) / potius χιλιάδας C quam χιλιάδος (22) τιμίων καὶ πολυτελῶν C, τιμίων καὶ πολυτιμῶν ἀρτα.. ων D (23) a voce οἱ δὲ Βραγμᾶνες recensio γ interponit palladii de vita Bragmanorum narrationem. 35 A , § 3 - 35 A , § 11 = Mueller III 12 =Derret II § 3 - § 11. 'Αλεξάνδρῳ τῷ βασιλεῖ τοῦτο C (24) πρὸς ἡμᾶς ἐνταῦθα C (25) possis ὅτι ⟨τί⟩ ἐστι/ βασιλικώτερον CD, βασιλικωτέρως R/ τῷ om. C (26) τοῦτο δὲ C (27) ἄνθρωπος δὲ D

αὐτοῦ οὐ κρατεῖ. ἀλλ' ἐπειδὴ μέχρι νῦν διαβεβλημένοι ἠπιστούμεθα ὑπό σου, γευσάμενος τῶν ἀληθινῶν λόγων γνῶθι.

§4 Κάλαινος γὰρ κακὸς ἀνὴρ ἡμῖν γεγένηται καὶ διὰ Κάλαινον ἄνδρες Ἕλληνες Βραγμᾶνας ἔγνωσαν. ἐκεῖνος γὰρ οὐκ ἦν ἡμέτερος, ἀπ' ἀρετῆς δραπετεύσας· οὐκ ἤρκεσεν αὐτῷ Τιβεροὰμ πίνειν ὕδωρ σωφροσύνης καὶ ἀμόγλας ἐσθίειν, ἐν οἷς αὐξάνεται νοῦς θεοπρεπής. πλοῦτον ἔσχεν ἐχθρὸν φυχῆς καὶ οὕτως ἐν αὐτῷ δεινὸν ἀνέφλεξεν πῦρ καὶ εἰς ἡδονὴν αὐτὸν ἀπέστρεφεν ἀπὸ σοφίας. ἡμῶν δὲ οὐδεὶς ἐπ' ἀνθράκων κυλίεται οὐδὲ ἀλγηδὼν ἡμῶν δαπανᾷ τὸ σῶμα, ἀλλ' ἐστὶν ἡμῶν ἡ τροφὴ ζωὴ ὑγείας φάρμακον.

§5 ἄπλουτοι δέ ἐσμεν κατὰ φύσιν· καὶ ὁμοίως πᾶσιν τῷ βίῳ ἡμῶν ἐπακολουθεῖ θάνατος. εἰ δὲ τῶν θνητῶν τινες ἀνδρῶν φευδεῖς μαθόντες λόγους κενοῖς ἡμᾶς ὑποτοξεύουσι βέλεσι, οὐ δειλιῶμεν. ἴσον δέ ἐστιν τὸ φεύδεσθαι καὶ τὸ τάχος πείθεσθαι· ἀδικεῖ γὰρ ὁ φευδόμενος, ὃν πείθει, ἀδικεῖ δὲ καὶ ὁ πειθόμενος φευδομένῳ προσέχων, πρὶν ἢ τἀληθὲς μάθῃ. διαβολὴ γὰρ μήτηρ ἐστὶν πολέμου καὶ τίκτει ὀργήν, ἀφ' ἧς μάχονται καὶ πολεμοῦσιν.

§6 πλὴν οὐκ ἔστιν ἀνδρεία τὸ φονεύειν ἄνδρας· λῃστοῦ γὰρ ἔργον ἐστίν. ἀνδρεία ἐστὶν τὸ πάσῃ ἀέρων κράσει μάχεσθαι γυμνῷ τῷ σώματι καὶ γαστρὸς ἐπιθυμίας ἀναιρεῖν καὶ τοὺς ἐν αὐτῇ πολέμους μᾶλλον νικῆσαι καὶ ὑπὸ τῆς ἐπιθυμίας μὴ καταγωνίζεσθαι πρὸς τὸ ὀρέγεσθαι δόξης καὶ πλούτου καὶ ἡδονῆς. τούτους νίκησον πρῶτον, 'Αλέξανδρε, τούτους ἀπόκτεινον· τούτους γὰρ ἐὰν νικήσῃς, οὐκ ἐστί σοι χρεία πρὸς τοὺς ἔξω μάχεσθαι· τοὺς γὰρ ἔξω μάχῃ, ἵνα τούτους ἐνέγκῃς φόρους. οὐ

(1) κρατεῖ παντελῶς C/ μέχρι τοῦ νῦν D, μέχρι τούτου C/ ἠπιστούμεθα CPall.,πιστούμεθα R, lacuna in D (2) παρά σου D/ γευσάμενος ἄρτι (γὰρ C) DC/ γνῶθι γ, ἦλθες Pall. quod deterius (3) ἡμῖν ....νόμενος D (5) ἐν Τιβεροὰμ C (6) ἀμόγλας (sic) RD/ ὕδωρ σωφροσύνης ἀγαθὸν καὶ ἀμόλγας ἐσθίειν γῆς C/ αὐξάνεται, 'Αλέξανδρε C (7) ἀλλὰ πλοῦτον C/ ἔσχεν RCPall., ἠγάπησεν D/ ἐν ἑαυτῷ C (8) ἀπὸ σοφίας ἀπέστρεψεν D (cod. nunc rursus facile legitur) (9) οὐδεὶς τῶν Βραχμάνων ἐπ' ἀνθράκων πορεύεται ἢ μᾶλλον κυλίεται C (10) ζωή: possis ζωρή (=pura) (12) τὴν φύσιν CD, Pall. τῷ ἡμῶν βίῳ D (13) ὁ θάνατος C/ εἰ δὲ RDPall, οἱ δὲ C/ θνητῶν ἀνδρῶν τινες D (14) καινοῖς ὑμᾶς ἀποτοξεύουσι C/ οὐ δειλιῶμεν om. RC (15) ταχέως D (17) προσέχων τῷ ψευδομένῳ C (18) ὀργὴν ἐν ἀνθρώποις C (19) πολεμοῦσιν, 'Αλέξανδρε, οἱ ἄνθρωποι. πλὴν οὐκ ἔστιν τὸ φονεύειν ἀνθρώπους ἀνδρεία C (21) ἀνδρεία δὲ πάλιν ἐστὶ C/ τὸ μάχεσθαι πάσῃ ἀέρων κράσει D, πρὸς τροπὰς ἀέρων μάχεσθαι Pall. (22) τοὺς ἔνδον πολέμους Pall. (23) καταναγκάζεσθαι Pall. (25) τούτους οὖν C (26) ἐὰν μόνον C (27) τοὺς γὰρ ἔξω μάχῃ ὡς ἂν προσφέρουσί σοι φόρους D, τοὺς γὰρ - φόρους om. C

βλέπεις,ὅτι τοὺς ἔξω νικᾷς καὶ ὑπὸ τῶν ἔνδον νενίκησαι; πόσοι σοι δοκοῦσι βασιλεῖς ἀνοίας ἐν τοῖς ἄφροσιν τυραννεῖν; γλῶσσα,ἀκοή,ὄσφρησις,ὅρασις,ἁφή,γαστήρ,αἰδοῖα ὅλως ἰσχρός. πολλαὶ δὲ καὶ ἔσωθέν εἰσιν,ὥσπερ ἀμείλικτοι δέσποιναι καὶ τυραννίδες ἀκόρεστοι,ἀπέραντα ἐπιτάττουσαι· ἐπιθυμίαι,φιλοχρηματίαι,φιληδονίαι,αἱμομιξίαι,φονοκτονίαι, δολοφονίαι,διχοστασίαι,αἷς πάσαις ταύταις καὶ ἄλλαις πλείοσιν βροτοὶ δουλεύουσιν,δι' ἅσπερ φονεύουσι καὶ φονεύονται.

§7 Βραγμᾶνες δὲ νικήσαντες τοὺς ἔνδον πολέμους λοιπὸν ἀνερρώσθησαν καὶ ἀναπαυόμεθα βλέποντες ὕλας καὶ οὐρανόν· καὶ ἀκούομεν ὄρνεων ἦχον εὐμελῆ καὶ ἀετῶν κλαγγήν· φύλλα τε περιβεβλήμεθα καὶ ἀέρι ἐνδιαιτώμεθα,καρποὺς ἐσθίομεν καὶ ὕδωρ πίνομεν,θεῷ ὕμνον ᾄδομεν καὶ τὰ μέλλοντα ἐπιθυμοῦμεν. τοιαῦτα γὰρ Βραγμᾶνες ζῶμεν,οὐ πολλοὺς λόγους λέγοντες καὶ σιωπῶντες.

§8 ὑμεῖς δὲ λέγετε,ἃ δεῖ ποιεῖν,ποιεῖτε δέ,ἃ μὴ δεῖ λέγειν· παρ' ὑμῖν γὰρ οὐδεὶς φιλόσοφον εἶδεν,ἐὰν μὴ λαλήσωσιν· ὑμῶν γὰρ ὁ νοῦς ἐστιν ἡ γλῶττα καὶ ἐπὶ τοῖς χείλεσιν αἱ φρένες. χρυσὸν καὶ ἄργυρον συνάγετε,δούλων χρείαν ἔχετε καὶ μεγάλων οἴκων,ἀρχὰς διώκετε,ἐσθίετε καὶ πίνετε,ὅσα καὶ τὰ κτήνη,οὐκ αἰσθάνεσθε δὲ ὡς ἰδιῶται· περιβάλλεσθε μαλακὰ ἐξομοιούμενοι τοῖς σκώληξιν τοῖς σηρικοδιασταῖς· ἀδεῶς δὲ πάντα πράττετε καὶ ἐφ' οἷς πράττετε μετανοεῖτε,καθ' ἑαυτῶν λαλεῖτε ὡς καθ' ἐχθρῶν,τῆς γλώττης ἐξουσίαν ἔχοντες ὑπὸ ταύτης πολεμεῖσθε· κρείττονες ὑμῶν εἰσιν οἱ σιγῶντες,κἂν ἑαυτοὺς οὐκ ἐλέγχωσι.

§9 παρὰ προβάτων ὥσπερ αἰμάλωτοι ἔρια δανείζεσθε,δόξαν

(1) post νενίκησαι perg D τίνες δ'εἰσὶν οὗτοι οἱ πολέμιοι, βασιλεῦ, οἱ ἔξω καὶ οἱ ἔνδον, γνώρισον· ἔξω μὲν γλῶσσα et C καὶ ὅσοι σοι δοκοῦσι βασιλεῖς ἐν τοῖς ἄφροσι ὅτι ὑπάρχει αὐτοῖς γλῶσσα (3) αἰδοῖα καὶ τὰ τοιαῦτα D, αἰδοῖα ὅλως ἰσχρός om. C, αἰδοῖα ὅλως ὁ χρώς Pall. quod rectius (4) πολλὰς δὲ καὶ R/ εἰσιν om. D (5) ἐπιτάττουσιν ἀπέραντα ἤγουν ἐπιθυμίαι D (6) αἱμομιξίαι, φονοκτονίαι om. C (7) ἄλλαις πλείσταις C (9) τοὺς ἔσωθεν πολέμους καὶ ἔξωθεν λοιπὸν ὑγιῶς ἔχουσι καὶ ἀναπαυόμεθα βλέποντες τὰς ὕλας καὶ τὸν οὐρανὸν C (10) ἀναπαύονται Pall. (11) καὶ φύλλα C (13) ὕμνους D Pall/ τῶν μελλόντων D (14) τοιαῦτα γὰρ R, τοιούτοις γὰρ C, τοιουτοτρόπως D (16) ἃ δεῖ μὴ ποιεῖν, καὶ ποιεῖτε omisso ἃ μὴ δεῖ λέγειν C (17) παρ' ἡμῖν RC, παρ' ὑμῖν DPall/ λαλήσῃ· ἡμῶν γὰρ ἡ γλῶττα ὁ νοῦς C (19) ὑμεῖς δὲ χρυσὸν C (20) ἐκδιώκετε C (22) ἐξομοιούμενοι - σηρικοδιασταῖς om. C/ κύλυξιν τοῖς σηριδιασταῖς R/ σηρικοδιασταῖς DPall/ ἀδεῶς δὲ πράττετε, ἐφ' ἅπασι πράττετε, μετανοεῖτε D (23) ἑαυτοὺς καταλαλεῖτε C (24) καὶ τῆς γλώττης ἐξουσίαν ἔχετε καὶ ὑπὸ C (25) κρείττονες ἡμῶν D (27) τῶν προβάτων D/ παρὰ προβάτων ἐρανίζεσθε ἔρια. ὡς αἰχμάλωτοι δόξαν κτλ. Pall. sensum huius enuntiati non assequor.

τοῖς δακτύλοις ὑμῶν ὡς ξόανα περιτίθεσθε,χρυσὸν ὡς αἱ θήλειαι φορεῖτε καὶ ἐπὶ τούτοις μεγαλύνεσθε. καθ' ὁμοίωσιν τοῦ κτίσαντος δημιουργηθέντες ἀνημέρων θηρίων θυμὸν τίκτετε· ὅταν πολλὰς κτήσεις περιβάλλησθε,ἐπὶ τούτοις μεγαλύνεσθε καὶ τοῦτο βλέποντες,ὅτι πρὸς ἀλήθειαν οὐδὲν ὑμᾶς δύναται ὠφελεῖν. χρυσὸς γὰρ φυχὴν οὐκ ἀνίστησιν,οὐδὲ σῶμα πιαίνει,ἀλλὰ τοὐναντίον μᾶλλον καὶ σκοτοῖ φυχὴν καὶ σῶμα ἐκτήκει.

§1o ἡμεῖς δὲ πρὸς ἀλήθειαν τὴν φύσιν ἐπιγνόντες,τὰ ταύτῃ ἀποκληρωθέντα ἐκείνων καὶ προνοοῦμεν· πείνης παραγενομένης ἀκροδρύοις καὶ λαχάνοις τοῖς ἐκ τῆς προνοίας ἡμῖν χορηγουμένοις ἰώμεθα ταύτην· καὶ δίψης παραγενομένης ἐπὶ τὸν ποταμὸν ἐρχόμενοι καὶ χρυσὸν πατοῦντες ὕδωρ πίνομεν καὶ ταύτην θεραπεύομεν. χρυσὸς δὲ οὐ παύει δίφαν οὐδὲ λιμὸν παραμυθεῖται οὐδὲ τραῦμα θεραπεύει,οὐ νόσον ἰᾶται, οὐκ ἀπληστίαν ἐμπίπλησιν,ἀλλὰ μᾶλλον καὶ προσεγείρει ταύτην τὴν ξένην τῆς φύσεως ἐπιθυμίαν· καὶ διφῶν μὲν ἄνθρωπος δῆλον ὅτι ἐπιθυμεῖ πιεῖν καὶ λαβὼν ὕδωρ πέπαυται τῆς δίφης· καὶ ὁ πεινῶν φυσικῶς ἐπιζητεῖ τροφὴν καὶ φαγὼν κορέννυται καὶ τῆς ἐπιθυμίας πέπαυται· παντάπασιν οὖν δῆλον ὅτι ξένης φύσεως τὸ χρυσοῦ ἐπιθυμεῖν. πᾶσα γὰρ ἐπιθυμία πέπαυται βροτῶν,ὅταν λάβῃ τὸν θάνατον κατὰ νοῦν,ἐπειδὴ τῇ φύσει καὶ τοῦτο συνέσπαρται. ὁ δὲ τῶν χρημάτων ἔρως ἀκόρεστός ἐστιν διὰ τὸ εἶναι τοῦτο παρὰ φύσιν· ἔπειτα καὶ ἐν αὐτῷ κοσμεῖσθε καὶ ἐπὶ τοῦτο δοξάζεσθε τῶν ἄλλων ἀνθρώπων ὑπερμεγαλυνόμενοι καὶ διὰ τοῦτο τὰ κοινὰ τῶν πάντων ἴδια ποιεῖτε,τὴν ὁμοίαν πᾶσιν μίαν φύσιν τῆς φιλαργυρίας εἰς πολ-

(1) ταῖς δακτύλοις D (2) μεγαλύνεσθε RD, ἐπαίρεσθε C/ καθ' ὁμοίωσιν - 5 μεγαλύνεσθε om. C (4) κτήσεις κέκτησθε D (5) καὶ τοῦτο RC, καὶ ταῦτα D, μὴ Pall/ ἀλήθειαν ἢ σωτηρίαν D (6) ὠφελῆσαι C (7) τὸ σῶμα C/ ψυχὴν σκοτοῖ DPall, σκοτίζει ψυχὴν C (9) τὰ ταύτην ἀποκληρωθέντα ἐκεῖνα D (12) ἰώμεθα RCD, ἐστιώμεθα Pall/ δίψης ὡσαύτως D/ παραγενομένου R (13) καὶ χρυσὸν πατοῦντες om. C (14) ταύτην om.D/ θεραπευόμεθα D, θεραπεύοντες C/ χρυσὸς γὰρ D (18) δῆλον RC, δῆλον ὅτι D/ καὶ πιὼν ὕδωρ C (20) καὶ - πέπαυται om.C/ ξένης (ξένον Pall) φύσεώς ἐστι DPall. (22) βροτῶν RDPall, τοῖς βροτοῖς C/ λάβωσι C (24) εἶναι τοῦτον CD (25) ἐπὶ τούτων D (26) ποιεῖτε RDPall, ποιοῦσι C

λὰς γνώμας λοιπὸν κατατεμνούσης.

§11 Κάλαινος οὖν ὁ ψευδόφιλος ἡμῶν ταύτην ἔσχε τὴν γνώμην, ἀλλ' ἀφ'ἡμῶν καταπατεῖται,καὶ ὁ παραίτιος πολλῶν κακῶν πᾶσιν,παρ' ὑμῖν ἐστιν ἔντιμος καὶ τιμᾶται ὑφ'ὑμῶν,ἀνωφελὴς δὲ ὢν ἡμῖν,παρ'ἡμῶν παραπέμπεται ἐξουθενωθείς· καὶ πάντα, ὅσα ἡμεῖς καταπατοῦμεν,ταῦτα ἐθαύμασεν ὁ φιλαργυρήσας Κάλαινος,ὁ μάταιος ὑμέτερος φίλος,ἀλλ'οὐχ ἡμέτερος· μέλεος καὶ τῶν ἀθλίων ἐλεεινότερος τὴν ψυχὴν αὐτοῦ ἀπώλεσεν φιλαργυρήσας. καὶ διὰ τοῦτο ἄξιος ἡμῶν οὐκ ἐφάνη οὐδὲ ἄξιος τῆς πρὸς θεὸν φιλίας οὐδὲ ἐπανεπαύσατο ταῖς ἐν ταῖς ὕλαις ἀμεριμνίαις,ἐν ταύταις ἐντρυφήσας,οὐδὲ ἐλπίδα ἔσχεν τῆς μετὰ ταῦτα προσδοκίας,τὴν ἀθλίαν ἑαυτοῦ ψυχὴν φιλαργυρίᾳ κατακτείνας."

§11a ὁ δὲ 'Αλέξανδρος θέλων πειρᾶσαι ἢ μᾶλλον εἰπεῖν περισσοτέρως δοκιμάσαι τὴν τούτων σοφίαν ἔφη· "τάφους οὐκ ἔχετε;"οἱ δὲ εἶπον· "τοῦτο τὸ χώρημα,ἔνθα μένομεν,ἐστὶν ἡμῖν ὁ τάφος·ὧδε γὰρ ἀναπαυόμεθα ἐπὶ τὴν γῆν ἐνταφιάζοντες ἑαυτοὺς εἰς ὕπνον· γῆ γὰρ ἡμᾶς γεννᾷ,γῆ τρέφει,ὑπὸ γῆν τελευτήσαντες κείμεθα τὸν αἰώνιον ὕπνον."

ἕτερον δὲ ἐπηρώτησε· "τίνες ἄρα πλείονές εἰσιν,οἱ ζῶντες ἢ οἱ νεκροί;" οἱ δὲ εἶπον· "οἱ μὲν τετελευτηκότες πλείονές εἰσι· διὰ δὲ τὸ μηκέτι φαίνεσθαι τούτους δοκοῦσιν πλείονες εἶναι οἱ δρώμενοι."

ἕτερον δὲ ἐπηρώτησεν αὐτοῖς·" τί ἄρα ἰσχυρότερον,θάνατος ἢ ζωή;" οἱ δὲ εἶπον·"ἡ ζωή,ὅτι ὁ ἥλιος ἀνατέλλων ἔχει λαμπρὰς τὰς ἀκτῖνας,δύνων δὲ ἀσθενέστερος ὁρᾶται."

ἕτερον ἠρώτησεν· "τί πλέον,ἡ γῆ ἢ ἡ θάλασσα;" οἱ δὲ εἶπον·

(1) κατατεμνούσης DPall., κατατέμνουσαν RC (2) ὁ ψευδὴς φίλος ἡμῶν DPall. (3) ὑφ'ἡμῶν D/ πᾶσιν om. Pall. (4) παρ' ἡμῖν R/ ὑφ' ὑμῶν DPall, ὑφ' ἡμῶν R, παρ' ὑμῶν C (6) καταπατοῦμεν γ, οὐ ζητοῦμεν Pall. (7) καὶ οὐχ C/ ἡμέτερος· μέλεος D Pall, ἡμέτερον μέλος RC (8) κακῶς ἀπώλεσε C (10) θεὸν αὐτοῦ φιλίας· οὗτος δὲ ὁ Κάλαινος οὐκ ἀνεπαύσατο C/ ὅτι γε οὐκ ἀνεπαύσατο D (11) τῆς μετὰ ταῦτα προσδοκίας (προσδοκίαν R) RD, ἐλπίδα παντελῶς ἔσχε τῆς μετανοίας, τὴν ἀθλίαν αὐτοῦ C (13) κατακτείνας RC, ἀπολέσας D (14) hoc colloquium e libro tertio (III 6) recensionis β sumptum est; § 11 a - 11 b = Mueller III 6 (15) ἔφη πρὸς αὐτοὺς C (17) ὁ τάφος γ, καὶ τάφος BL/ ἐνταφιάζοντες γ, ταφίζοντες BL (18) ὑπὸ γῆν δὲ CDBL (19) κείμεθα RCBL, ἀναπαυόμεθα D (20) ἕτερον - 23 ὁρώμενοι om. R, sequor cod.D/ ὁ δὲ 'Αλέξανδρος πάλιν ἐπηρώτησεν αὐτοὺς C (21) πλείονες, ἀλλὰ μηκέτι φαινόμενοι μετρητοί· οἱ γὰρ ὁρώμενοι πλείονες δοκοῦσι εἶναι τῶν μὴ φαινομένων. ὁ δὲ πάλιν ἤρετο αὐτοῖς C (25) ἢ ἡ ζωή C (26) τὰς ἑαυτοῦ ἀκτῖνας C (27) αὐτὸς δὲ (om.DBL) ἔτι ἠρώτησε CDBL/ τί πλεῖον CL

"ἡ γῆ· καὶ γὰρ αὐτὴ ἡ θάλασσα ὑπὸ τῆς γῆς κατέχεται." ἕτερον δὲ ἠρώτησεν· "τί ἄρα πάντων τῶν ζώων ἐστὶν πανουργότερον;" οἱ δὲ εἶπον· "ὁ ἄνθρωπος." ὁ δὲ φησίν· "πῶς;" οἱ δὲ εἶπον· "τοῦτο ἀπὸ σεαυτοῦ κύθου, σὺ γὰρ θὴρ ὑπάρχων ἰδὲ πόσα θηρία μετά σου ἔχεις, ἵνα τὴν τῶν ἑτέρων θηρίων ζωὴν μόνος ἀφαρπάσῃς." ὁ δὲ οὐκ ὠργίσθη, ἀλλ' ἐμειδίασεν. ἄλλο δὲ εἶπεν· "τί ἐστιν βασιλεύς;" οἱ δὲ εἶπον· "πλεονεξίας δύναμις ἄδικος, τολμὴ καιροῦ συνίσχοντος χρυσοῦν φορτίον." ἕτερον δὲ εἶπεν· "τί πρῶτον ἐγένετον, ἡ νὺξ ἢ ἡμέρα;" οἱ δὲ εἶπον· "ἡ νύξ, καὶ γὰρ τὰ γενόμενα ἐν σκότει τῆς γαστρὸς αὐξάνονται, εἶτα εἰς τὴν γῆν ἀποκύονται λαβεῖν τὸ φῶς." ἕτερον δὲ εἶπεν· "ποία κρείττονα μέρη εἰσίν, τὰ δεξιὰ ἢ τὰ εὐώνυμα;" οἱ δὲ εἶπον· "τὰ δεξιά, καὶ γὰρ αὐτὸς ὁ ἥλιος τοῖς δεξιοῖς ἀνατέλλει, τοῖς δὲ εὐωνύμοις μέρεσι τοῦ οὐρανοῦ περιπολεύει."

§11b ἔπειτα δὲ Ἀλέξανδρος εἶπε πᾶσιν· "αἰτήσασθέ με, ὃ ἐὰν θέλητε, καὶ δώσω ὑμῖν." οἱ δὲ ἐξ ἑνὸς στόματος πάντες ἐβόησαν· "δὸς ἡμῖν ἀθανασίαν." ὁ δὲ Ἀλέξανδρος εἶπεν· "τοῦτο κἀγὼ ἐξουσίαν οὐκ ἔχω· κἀγὼ γὰρ θνητὸς ὑπάρχω." οἱ δὲ εἶπον· "τί τοίνυν, εἰ θνητὸς ὑπάρχων, τοσαῦτα πολεμεῖς, ἵνα πάντας ἄρῃς; καὶ ποῦ ἐπενέγκῃς; οὐ πάλιν καὶ αὐτὸς ἑτέροις καταλιμπάνεις;" ὁ δὲ Ἀλέξανδρος εἶπε· "ταῦτα ἐκ τῆς ἄνωθεν προνοίας διοικεῖται, ἵνα καὶ ἡμεῖς δοῦλοι καὶ διάκονοι γενώμεθα τῆς ἐκείνων ἐπιταγῆς· οὐ γὰρ κινεῖται θάλασσα, εἰ μὴ ἄνεμος πνεύσῃ, οὐδὲ σαλεύεται δένδρα, εἰ μὴ ῥιπίσῃ πνεῦμα οὐ γὰρ ἐνεργεῖται ἄνθρωπος εἰ μὴ ἐκ τῆς ἄνωθεν προνοίας. κἀγὼ οὖν παύσασθαι θέλων τοῦ πολεμεῖν· ἀλλ' οὐκ ἐᾷ με ὁ

(2) αὐτὸς ἐπηρώτησε C (3) καὶ πῶς C (4) πείθου γ/ ἰδὲ CDBL, ἰ R (5) ὡς ἂν D (6) σὺ μόνος C/ ὑφαρπάσῃς DL/ ὁ δὲ Ἀλέξανδρος C (7) ἄλλο δὲ εἶπεν RBL, ἕτερον δὲ εἶπε D, καὶ πάλιν ἤρετο αὐτοῖς C/ τί ἐστιν βασιλεία CDBL (9) ἐγένετο CDBL/ νὺξ ἢ ἡμέρα DBL, ἡ νὺξ ἢ ἡ ἡμέρα C (10) εἶπον αὐτῷ C/ ἐν τῷ σκότει CDBL (11) ἀποκυόμενα λαμβάνουσι C (12) εἶπεν αὐτοῖς C (13) εὐώνυμα CBL, εὐάνυμα R, ἀριστερά D/ εἶπον αὐτῷ C (14) καὶ τοῖς εὐωνύμοις CL (15) post περιπολεύει perg. C(BL) ὡσαύτως καὶ ἡ γυνὴ τὸ βρέφος πρῶτον τῷ δεξιῷ μαζῷ θηλάζει εἶτα τῷ εὐωνύμῳ (16) πᾶσιν αὐτοῖς C (17) ὡς ἐξ ἑνὸς D (18) δός RCBL, δίδου D/ ὑμῖν R/ τούτου ἐγὼ DCBL (19) κἀγὼ γὰρ θνητὸς ὑπάρχω om. C (20) τί τοίνυν θνητὸς ὑπάρχων DL, τί τοίνυν θνητὸς ὑπάρχεις καὶ τοσαῦτα C/ πάντας RC, πάντα DL (21) ἀπενέγκῃς ταῦτα(om. CBL) CDBL (22) καταλιμπάνεις τὰ συναγόμενα D/ εἶπεν αὐτοῖς C (23) καὶ post ἵνα om.DBL/ δοῦλοι καὶ om.C (24) ἐκείνων: malim ἐκείνης/ ἡ θάλασσα C (25) σαλεύεται RCBL, σαλεύονται D/ ταῦτα τὸ πνεῦμα D (27) θέλω CDBL

τῆς γνώμης μου δεσπότης· εἰ γὰρ πάντες ὁμόγνωμοι εἶμεν,ἀργὸς ἐτύγχανεν ὁ κόσμος,θάλασσα οὐκ ἐπλέετο,γῆ οὐκ ἐγεωργεῖτο,γάμοι οὐκ ἐπετελοῦντο,παιδοποιία οὐκ ἦν· πόσοι γὰρ ἐν τοῖς γενομένοις ὑπ' ἐμοῦ πολέμοις ἐδυστήχησαν ἄνδρες καὶ παιδία; ἄλλοι δὲ ηὐτύχησαν ἐκ τῶν ἀλλοτρίων· πάντες γὰρ τὰ πάντα λαμβάνοντες ἑτέροις παραχωροῦσιν καὶ οὐδενὶ οὐδὲν ὑπάρχει." ταῦτα εἰπὼν 'Αλέξανδρος πάλιν ἠρώτησεν αὐτούς·"ἔχετε ἄνακτα;" οἱ δὲ εἶπον·

§12 "ναί,ἐστὶν ἡμῖν Δανδάμιος,ὃς ἐν ὕλῃ ἀνάκειται ἐπὶ φύλλοις εἰρήνην,ὃς κρήνην ἔχει πηγὴν ὡς μαζὸν ἀκέραιον ἀμέλγων μητρός."

§13 τότε 'Αλέξανδρος ὁ βασιλεὺς ἀκούσας ταῦτα παρεκάλεσεν, ἵνα τὸν διδάσκαλον αὐτῶν καὶ πρύτανιν τῶν λόγων τούτων συντυχεῖν. οἱ δὲ ὑποδεικνύουσιν αὐτῷ μακρόθεν τὸν τόπον τοῦ Δανδάμεως. ἐλθὼν δὲ ἐκεῖ 'Αλέξανδρος οὐκ εἶδεν αὐτὸν παριών· ἐν ὕλαις γὰρ κατέκειτο συχναῖς ἐπὶ φύλλαις ἀναπαυόμενος ἐν εἰρήνῃ,ἔχων πηγὴν ἐγγὺς ὡς μαστὸν ἀκέραιον ἀμέλγων μητρὸς γῆς. ὡς οὖν οὐκ εἶδεν 'Αλέξανδρος Δάνδαμιν τὸν τῶν Βραγμάνων ἐπιστάτην καὶ διδάσκαλον,πέμπει πρὸς αὐτὸν φίλον ἑαυτοῦ τινα 'Ονησικράτην ὀνόματι λέγων τούτῳ·

§14 "σπεῦσον πρὸς τὸν διδάσκαλον τὸν μέγαν Δάνδαμιν,ὦ 'νησίκρατε,καὶ ἢ αὐτὸν ἡμῖν ἄγαγε τὸν ἄνθρωπον ἢ μαθὼν τὰ περὶ αὐτοῦ,ποῦ διάγει,ἀνάγγειλόν μοι τάχος,ὅπως ἐγὼ αὐτὸς παραγένωμαι πρὸς αὐτόν." ὁ δὲ 'Ονησικράτης ἔφη αὐτῷ·"τὸ κελευσθὲν ποιήσω διὰ τάχους,βασιλεύς· σὸν γὰρ τὸ προστάττειν,τὸ δὲ δρᾶν ἐμόν."

πορευθεὶς δὲ οὗτος καὶ τὸν μέγαν Δάνδαμιν εὑρὼν εἶπεν·

(1) εἰ γὰρ CDB, οἱ γὰρ RL/ ἀργὸς ἂν D (2) ἔπλετο R (3) πόσοι γὰρ CDL, πό γὰρ R (4) ὑπ' ἐμοῦ γενομένοις CL/ ἄνδρες τε καὶ γυναῖκες καὶ παιδία C (6) ἑτέροις RDBL, ἕτεροι C (7) post ὑπάρχει haec e recensione β (III6) addit C πάλιν ἠρώτησεν αὐτοῖς· "γυναῖκας ἔχετε ὑμεῖς πρὸς παιδοποιίαν;" οἱ δὲ εἶπον· "ναί, ἕκαστος ἔχομεν τὴν ἑαυτοῦ γυναῖκα· καὶ κατὰ τὴν σεληνιακὴν γένναν πορεύεται ἕκαστος καὶ πλησιάζει τῇ ἰδίᾳ συνεύνῳ, ἕως ἂν τέκῃ δύο παῖδας· καὶ λογιζόμεθα τὸν μὲν ἕνα ἀντὶ τοῦ πατρός, τὸν δὲ ἕτερον ἀντὶ τῆς μητρός." ταῦτα εἰπόντων αὐτῶν πάλιν ἠρώτησεν αὐτούς/ post ὑπάρχει ad Palladium redit recensio γ.

35A, §12 - §18 = Mueller III 13 = Derret II §12 - §18

(9) ἐστὶν ὑμῖν R, ἐστίν τις ἐν ἡμῖν D, ἐστὶν ἐν ἡμῖν τις C/ Δανδάμιος R, Δάνδαμις D, Δανδάμης C (10) εἰρήνην R, om. CD, ἐαρινοῖς Merkelbach / κρήνην CD, εἰρήνην R, vox κρήνην varia est lectio, ut videtur, ad πηγήν; fuit ὃς ἐγγὺς ἔχει ἀνάκειται ἐπάνω τῶν φύλλων, ὃς κρήνην ἐγγὺς πηγάζουσαν ἔχει ὡς μαζὸν D, ἐπὶ φύλλοις, ὃς κρήνην ἐγγὺς ἔχει πηγὴν ὡς μαζὸν ἀκέραιον ἀμέλγει μητρὸς ἰδίας γῆς C

(12) ὁ δὲ βασιλεὺς 'Αλέξανδρος ταῦτα ἀκούσας παρεκάλεσεν C

(13) τῶν τοιούτων λόγων θεάσηται D, τῶν λόγων συντύχῃ C

(15) καὶ δὴ παραγενόμενος ἐκεῖσε ὁ 'Αλέξανδρος D

(16) ἐπὶ φύλλοις CPall, ἐπάνω φύλλων D (17) πηγὴν ἔχων C (18) γῆς μητρὸς C/ οὐκ om. C

(19) φίλον ἕνα τῶν αὐτοῦ D (20) 'Ονισηκράτην C/ λέγων τούτῳ (αὐτῷ C) DCPall. (23) ποῦ διάγει CDPall, τοῦτο διάγει R/ ταχέως D/ αὐτὸς ἐγὼ D

(24) τὸ κεκελευσμένον C (25) ὦ (om.C) βασιλεῦ DC

(26) ἐμόν ἐστι C

"χαίροις,διδάσκαλε Βραγμάνων. υἱὸς θεοῦ,Διὸς τοῦ μεγάλου, βασιλεὺς 'Αλέξανδρος,ὅς ἐστι παντὸς ἀνθρώπου δεσπότης,καλεῖ σε· ὅς ἐλθόντι σοι πρὸς αὐτὸν πολλὰ καλὰ παρέξει σοι δῶρα,μὴ ἐλθόντος δέ σου τὴν κεφαλὴν ἀποτεμεῖ." ὁ δέ Δάνδαμις ἀκούσας,μειδιάσας χαριέντως οὐδ' ἐπῆρεν ἑαυτοῦ τὴν κεφαλὴν ἀπὸ τῶν φύλλων,ἀλλὰ καταγελάσας τούτου,κατακείμενος ἀπεκρίνατο οὕτως·

§15 "ὁ θεός,ὁ μέγας βασιλεύς,ὕβριν οὐδέποτε γεννᾷ,ἀλλὰ φῶς,εἰρήνην,ζωὴν καὶ ὕδωρ,σῶμα ἀνθρώπου καὶ ψυχάς· καὶ ταύτας δέχεται,ὅταν μοῖρα λύσῃ,† μηδαμῶς θύσας ἐπιθυμίαν † ἐμὸς οὗτος δεσπότης καὶ θεὸς μόνος,ὃς φόνον ἀποστρέφεται, πολέμους οὐ κατεργάζεται· 'Αλέξανδρος δὲ θεὸς οὐκ ἔστιν, εἰδὼς ἀποθνήσκειν. καὶ πῶς πάντων ἐστὶν δεσπότης,ὃς παρῆλθεν ποταμὸν Τιβεροὰμ οὐδ' εἰς †κόσμον ὅλον τὸν ἑαυτοῦ θρόνον τέθηκεν ἢ πάλιν φόροις· οὐδὲ ζῶν δὲ ἐν Ἅιδου οὐδέπω παρῆλθεν· οὐδὲ τῆς μεσοπορίας ἡλίου εἶδεν τὸν δρόμον καὶ οὐδὲ μεθοπωρίοις ἢ καρποφορίοις†. Σκυθία οὐδὲ γινώσκει αὐτοῦ ὄνομα. εἰ αὐτὸν οὐ χωρεῖ ἐκεῖ γῆ,διαβαινέτω Γάγγην ποταμὸν καὶ εὑρήσει γῆν δυναμένην ἀνθρώπους φέρειν,εἴπερ ἡ παρ' αὐτοῖς γῆ οὐκέτι ὑπομένει βαστάζειν τοῦτον.

§16 ὅσα δὲ μοῖ ὁμολογεῖ 'Αλέξανδρος καὶ ὅσα ἐπαγγέλλεται δῶρα,ἐμοὶ ἄχρηστα τυγχάνει. ταῦτα δὲ μοῖ φίλα καὶ χρηστὰ καὶ χρήσιμα τυγχάνει· οἶκος,τὰ φύλλα ταῦτα καὶ τροφὴ πίων, αἱ παράθιναι βοτάναι καὶ ὕδωρ εἰς ποτόν. τὰ δὲ λοιπὰ χρήματά τε καὶ πράγματα μετὰ μερίμνης συναγόμενα καὶ οἱ συνάγοντες αὐτὰ ἐν ἐκείνοις ἀπολλύμενοι οὐδὲν ἕτερον ἢ λύπας παρέχειν εἴωθεν,ἧ ἐστιν ἐμπεπλησμένος πᾶς βροτός. νῦν δὲ

(1) χαίροις εἶπεν D (3) πολλὰ καὶ καλὰ CDPall/ σοι post παρέξει om.C (9) ὕδωρ:mirum / ἀνθρώπων D (1o) λύσῃ μηδαμῶς θύσας (θήσας C) ἐπιθυμίαν RC, λύσῃ, μηδαμῶς θελήσας ἐπιθυμίαν πονηρῶν D, τὰς μὴ δαμασθείσας ἐπιθυμίᾳ Pall. recte (13) ὃς οὔπω Pall. (14) τοῦ Βεροάμ C/ κόσμον ὅλον: κονσοῦλον Palladii cod.QZ , Κοσσόαλον Derret (15) ἢ πάλιν φόροις R, ἔμπαλιν φερόμενος DC, possis ἐν Παλιμβόθροις/ οὐδὲ om. C, ἔτι δὲ ζῶν D, Ζωνενάδῃ Palladii cod. QZ (16) μεσοποταμίας Palladii cod.QZ / καὶ om. D, καὶ - 17 καρποφορίοις om.C (17) οὐδὲ μεθωπορίας ἢ καρποφορίας D, οὐδὲ ἴδεν τὸν ἐν Μεσορίοις ἢ Βασιβάροις μεθόριοι δὲ καὶ καρεόφοροι Palladii cod. QZ ἡ Σκυθία δὲ οὐδέ D, Σκυθία δὲ οὐ C (18) τὸ ὄνομα CDPall./ ἡ ἐκεῖ (ἐκεῖσε D) γῆ CD (2o) παρ' αὐτοῦ C/ ὑπομένει om.R (21) πάντα δέ μοι,ὅσα ὁμολογεῖ C/ ἐπαγγέλεται παρέχειν μοι (om.C) δῶρα DCPall. (22) ταῦτα - 23 τυγχάνει DPall. , om. RC/ πίων om. C (24) παράθιναι R, παρὰ θισὶ D, παρ' ἡμῖν C, παραθήνιαι (= παραθίνιαι) Palladii cod. QZ/ εἰς ποτὸν ἔχομεν C/ πόσιν D (25) τὰ μετὰ CD/ malim καὶ τοὺς συνάγοντας --- ἀπολλύμενα (26) ἅμ' ἐκείνοις Young,Bush,Fruechtel ἀπολέσθωσαν C

καθεύδω ἐγὼ ἐπὶ στρωμνὴν φύλλων κεκλεισμένοις ὄμμασιν οὐδὲ τηρῶν· χρυσὸν γὰρ ἐὰν θελήσω τηρεῖν,διαφθείρω μου καὶ τὸν ὕπνον. γῆ μοι πάντα φέρει,ὡς μήτηρ γάλα {δέ ἐστιν} τῷ τεχθέντι· ἐφ' ᾧ θέλω,ἔρχομαι· ὃ μὴ θέλω μεριμνᾶν οὐκ ἀναγκάζομαι.

§17 ἐὰν δέ μου τὴν κεφαλὴν ἀφέλῃ 'Αλέξανδρος,τὴν ψυχὴν οὐκ ἀπολέσει,ἀλλὰ κεφαλὴν μόνην σιωπῶσαν· ψυχὴ δέ μου πρὸς τὸν δεσπότην ἐπελεύσεται,τὸ σῶμα ὡς ῥάκος ἐπὶ τῆς γῆς καταλιποῦσα,ὅθεν καὶ ἐλήφθη· πνεῦμα δὲ γενόμενος ἐγὼ ἀναβήσομαι πρὸς τὸν θεόν μου,ὃς ἡμᾶς κατέκλεισεν ἐν σαρκί,καταπέμψας ἐπὶ τὴν γῆν,πειράζων,ἵνα πῶς καταβάντες,ὡς προσέταξεν,ζήσωμεν αὐτῷ,ὃς ἀπελθόντας πρὸς αὐτὸν ἀπαιτήσει λόγον,δικαστὴς ὢν πάντων ὑβρισμάτων. οἱ γὰρ τῶν ἀδικουμένων στεναγμοὶ τῶν ἀδικούντων κολάσεις γίνονται.

§18 ταῦτα δὲ ἀπειλήτω 'Αλέξανδρος τοῖς θέλουσι χρυσὸν πλοῦτον καὶ θάνατον φοβουμένοις· πρὸς ἡμᾶς γὰρ τὰ δύο ὅπλα αὐτοῦ πέπτωκεν· οἱ γὰρ Βραγμᾶνες οὔτε χρυσὸν φιλοῦσιν οὔτε θάνατον φοβοῦνται. ἄπελθε οὖν καὶ 'Αλεξάνδρῳ λέγε,ὅτι Δάνδαμις τῶν σῶν χρείαν οὐκ ἔχει· διὰ τοῦτο πρὸς σὲ οὐκ ἐλεύσεται. εἰ δὲ σὺ Δανδάμεως χρείαν ἔχεις,ἐλθὲ πρὸς αὐτόν."

§19 ὁ δὲ Ἀλέξανδρος ταῦτα ἀκούσας παρὰ τοῦ 'Ονησικράτους μᾶλλον αὐτὸν ἰδεῖν ἐπεθύμησεν,ὅτι αὐτὸν πολλὰ ἔθνη καθελόντα εἷς ἐνίκησεν γυμνὸς γέρων .πορεύεται οὖν 'Αλέξανδρος σὺν πεντεκαίδεκα φίλοις εἰς τὴν ὕλην τοῦ Δανδάμεως καὶ ἐγγὺς γενομένου αὐτοῦ κατέβη ἐκ τοῦ ἵππου καὶ ἀπέθετο τὸ διάδημα καὶ πᾶσαν τὴν περὶ αὐτὸν ἀλαζονείαν καὶ εἰσελθὼν μόνος εἰς τὴν ὕλην,ἔνθα ὁ Δάνδαμις ἦν,ἠσπάσατο αὐτὸν καὶ

(1) ἐγὼ καθεύδω C, ἀλλ' ἐγὼ νῦν καθεύδω D/ ἐπὶ στρωμνῆς CD/ οὐδὲ τηρῶν RDPall., οὐδὲ τηρῶ C (2) γάρ om. C (3) δέ ἐστιν om.CD (4)malim ἐφ' ὅ, ἐφ' ἅ Pall. καὶ ὃ μὴ θέλων D (6) ἀφέλῃ RDPall. , ἀφαιρῇ C/ τὴν ψυχὴν πάντως D (7) ἀλλ' ἢ κεφαλὴ μόνη σιωπῶσα C/ σιωπῶσαν λάβῃ ἐκεῖνος· ἡ ψυχή μου δὲ πρὸς τὸν δέσποτα D (8) ἀπελεύσεται CDPall. (9) πνεῦμα δὲ ὢν C (11) ἐπὶ τῆς γῆς C/ ἵνα om.Pall., πῶς om. C/ πειράζων δὲ εἰς δοκιμήν· καταβάντες οὖν ὡς D (13) πάντων ἔργων τε καὶ λόγων C (14) γίγνονται C (15) ὁ 'Αλέξανδρος D/ χρυσὸν πλούτου C (17)πεπτώκασιν C (18) καὶ εἶπε ταῦτα τῷ 'Αλεξάνδρῳ. ὁ δὲ 'Ονισηκράτης ἀπελθὼν πάλιν πρὸς 'Αλέξανδρον,εἶπεν αὐτῷ,ὅτι Δάνδαμις C (19) καὶ διὰ τοῦτο D (20) ἄπιθι πρὸς αὐτόν C (21) 35A §19 - §31 = Mueller III 14 = Derret II § 19 - §31 (22) ὅτι τὸν D/ καθελόντα CDPall, καθελθόντα R (23) πορεύεται τοιγαροῦν D/ ὁ 'Αλέξανδρος C (24) καὶ δὴ ἐγγὺς γενόμενος D (26) περὶ αὐτὸν RDPall, περὶ αὐτοῦ C (27) ἔνθα ἦν ἀνακείμενος ὁ Δάνδαμις D

εἶπεν· "χαίροις Δάνδαμι,διδάσκαλε Βραγμάνων καὶ πρύτανι σοφίας· πάρειμι πρὸς σὲ ἀκούσας σου τὸ ὄνομα,ἐπεὶ σὺ μὴ παρεγένου πρὸς ἡμᾶς." ὁ δὲ Δάνδαμις "χαίροις",εἶπε,"καὶ αὐτός,δι'ὃν πολλαὶ πόλεις ταράσσονται καὶ ἔθνη ἀκαταστατεῖ."

§2o ὁ δὲ 'Αλέξανδρος καθεσθεὶς παρὰ τοῖς ποσὶν αὐτοῦ ἐκείνην τὴν ὥραν εἶδεν καθαρὰν γῆν ἀπὸ αἵματος· καὶ ὁ Δάνδαμις· "τί πρὸς ἡμᾶς,'Αλέξανδρε,παρῆς; τί θέλεις βαστάσαι ἐκ τῆς ἡμετέρας ἐρημίας; ὃ ζητεῖς ἡμεῖς οὐκ ἔχομεν· ἃ ἡμεῖς κεκτήμεθα,αὐτὸς οὐ χρῄζεις. ἡμεῖς θεὸν τιμῶμεν,ἀνθρώπους φιλοῦμεν,χρυσοῦ ἀμελοῦμεν,θάνατον καταφρονοῦμεν,ἡδονῶν οὐ φροντίζομεν· ὑμεῖς δὲ θάνατον φοβεῖσθε,χρυσὸν φιλεῖτε,ἡδονῶν ὀρέγεσθε,ἀνθρώπους μισεῖτε,θεὸν καταφρονεῖτε." ὁ δὲ 'Αλέξανδρος πρὸς αὐτόν· "ἐγὼ σοφόν τι ἧκα μαθεῖν παρὰ σοῦ· φασὶν γάρ σε θεῷ προσομιλεῖν· θέλω γὰρ εἰδέναι,τί τῶν Ἑλλήνων διαφέρεις ἢ τί τῶν λοιπῶν περισσότερον βλέπεις ἢ φρονεῖς;"

§21 ὁ δὲ Δάνδαμις πρὸς αὐτὸν ἀπεκρίνατο· "θέλω κἀγὼ διακονῆσαί σου λόγους σοφίας θεοῦ καὶ ἐνθεῖναί σοι νοῦν θεοπρεπῆ. ἀλλὰ σὺ τόπον οὐκ ἔχεις ἐν τῇ ψυχῇ σου,ὥστε χωρῆσαι τὴν παρ' ἐμοῦ σοι διακονουμένην δωρεὰν παρὰ θεοῦ· πεπληρώκασι γάρ σου τὴν ψυχὴν ἄπληστοι ἐπιθυμίαι καὶ ἀκόρεστος φιλαργυρία καὶ δαιμονιώδεις φιλαρχίαι,αἵτινες μάχονταί μοι νῦν,ὅτι σε ἐνταῦθα περισπῶ καὶ οὐ φονεύεις ἔθνη καὶ λαῶν πολλῶν ἐκχέεις αἷμα καὶ λυποῦνται σήμερον κατ' ἐμοῦ,ὅτι βλέπουσιν πόλιν μένουσαν καὶ σωζομένους ἀνθρώπους. σὺ δὲ εἶπας καὶ ἐπὶ τὸν 'Ωκεανὸν ἐλθεῖν καὶ μετ'αὐτὸν ἐπ'ἄλλην οἰκουμένην καὶ μετ'ἐκείνην πάλιν ἐφ' ἑτέραν,καὶ σφόδρα

(2) ἰδοὺ πάρειμι D/ ἀκούσας σου τὸ ὄνομα om. C/ ἐπεὶ σὺ οὐ C (3) Δάνδαμις εἶπε χαίροις C (5) ἐκείνην τὴν ὥραν RCPall, τότε D (6) ἀπὸ αἱμάτων D/ Δάνδαμις εἶπε αὐτῷ (πρὸς αὐτὸν D) CD (7) malim πάρει/ βαστάσαι pon.post 8 ἐρημίας D (8) καὶ ἃ ἡμεῖς κεκτήμεθα, σὺ τούτων οὐ χρῄζεις D (10) θανάτου C (11) δέ om.C (13) εἶπε πρὸς αὐτὸν C/ ἥκω CDPall. (14) καὶ θέλω εἰδέναι D (15) τῶν λοιπῶν ἀνθρώπων D (17) εἶπε πρὸς αὐτὸν C/ διακονῆσαί σου R, σοι CDPall. (22) δαιμονιώδης φιλαρχία DPall./ μοι om. C (23) καὶ οὐ λαῶν C, καὶ οὐκ ἐκχέεις αἷμα λαῶν πολλῶν D (24) λυποῦνται σήμερον κατ' ἐμοῦ οἱ μετὰ σοῦ Pall/ καὶ λυποῦνται – 25 ἀνθρώπους om. C (25) μένουσαν ἔτι D/ σὺ δέ, ὡς ἔγνων, εἶπας D (26) καὶ post εἶπας om. C (27) καὶ σφόδρα RCPall., σφόδρα τοιγαροῦν D

λυπηθήσῃ,ὅταν μὴ ἔχῃς,οὓς νικήσεις. ὡς οὖν δύναμαι θεοῦ σοφίας λόγους σοι λαλῆσαι τοσαύτης ἀλαζονείας καὶ ἐπιθυμίας ἀμετρήτου πεπληρωμένης σου τῆς διανοίας,ἣν οὐδ' ὅλος ὁ κόσμος ὑπηρετῶν ἠδυνήθη πληροφορῆσαι.

§22 βραχὺς ἐκτίσθης καὶ γυμνὸς καὶ εἷς ἄνθρωπος παρῆλθες ἐν τῷ κόσμῳ· καὶ αὐξηνθεὶς διὰ τί τοὺς πάντας κατασφάττεις; ἵνα πάντων λάβῃς; καὶ ὅταν νικήσῃς τοὺς πάντας καὶ πᾶσαν κτήσῃ τὴν οἰκουμένην,τοσαύτην γῆν καθέξεις μόνον,ὅσον ἐγὼ ἀνακείμενος ἢ σὺ καθήμενος· τοσαύτης κυριεύοντες ἔνθεν μεταβησόμεθα,ὥστε οὖν οἱ εὐκαταφρόνητοι ἡμεῖς ἄνευ μάχης καὶ πολέμου ἴσά σοι ἔχομεν τὰ πάντα,γῆν,ὕδωρ,ἀέρα· καὶ πάντα,ὅσα ἔχω ἐγώ,δικαίως ἔχω καὶ οὐδενὸς ἐπιθυμῶ. σὺ δὲ πολεμῶν καὶ ἐκχέων αἵματα καὶ ἀνθρώπους κατασφάττων,ἐὰν πάντας κτήσῃ ποταμούς,ἴσον ἐμοὶ πίνεις ὕδωρ.

§23 τοῦτο οὖν,'Αλέξανδρε, σοφὸν παρ' ἐμοῦ μάθε· μηδὲν ὡς πένης θέλε ἔχειν καὶ πάντα ἐστὶν σὰ καὶ οὐδενὸς δεήσῃ· ἐπιθυμία γὰρ μήτηρ ἐστὶ πενίας,πενία δὲ ἔργον ἀταξίας κακῷ φαρμάκῳ †θεραπευομένη λύπη†,καὶ μηδέποτε εὑρίσκουσα,ὃ ζητεῖ,μὴ δαπανωμένη,οἷς ἔχει,ἀλλ' ἀεὶ βασανιζομένη ἐφ'οἷς οὐ κέκτηται.

§24 πλουτήσεις δὲ ἡδέως ὡς ἐγώ,ἐάν μοι συζῆν θελήσῃς και ἐάν μοι προσέχῃς καὶ ἀκούσῃς μου τοὺς λόγους καὶ κτήσῃ ἐκ τῶν ἐμῶν ἀγαθῶν. ὁ γὰρ θεὸς ἐμοὶ φίλης,καὶ τοῖς ἔργοις αὐτοῦ ἀγαλλιῶν προσομιλῶ,καὶ ἔμπνους ἐν ἐμοὶ γίνεται· κακοὺς ἀνθρώπους ἀποστρέφομαι,οὐρανός μοι στέγη,γῆ μοι πᾶσα στρωμνή,ὗλαι τράπεζα,καρποὶ τροφῆς ἀπόλαυσις,ποταμοὶ διάκονοι δίψης· οὐκ ἐσθίω σάρκας ὡς λέων,οὐδὲ σήπεται ἐν ἐμοὶ ἑτέ-

(1) πῶς οὖν CDPall. (2) λαλῆσαι σοι C (5) εἷς ἄνθρωπος (om.C) DCPall., εἰς ἀνθρώπους R (6) αὐξινθείς R, ηὐξήνθης CD, deb. αὐξηθείς/ καὶ διὰ τί C, διὰ τί οὖν D (7) ἵνα τὰ πάντων DPall., ἵνα τοὺς πάντας C (8) μόνην,ὅσην CD (9) ἀνακείμενος μόνος D/ συγκαθήμενος R, συγκαθήμενος ἔχω C, om. D/ καὶ τοσαύτην γῆν κυριεύοντες ἔνθεν μεταβήσεσθε C, πλὴν τοσαύτης γῆς κυριεύοντες D, τοσαύτης κυριεύων ἔνθεν μεταβήσῃ Merkelbach (11) καὶ τὰ πάντα,ὅσα C, καὶ πάντα μέν,ὅσα ἐγὼ ἔχω D (12) ἐγώ om.C (13) ἀνθρώπους πολλοὺς C (15) μηδενὸς C (16) ἔχειν RD, κτᾶσθαι C/ εἰσὶν σὰ D (17) μήτηρ RD, μῆρα C (18) θεραπευομένη λύπη RD, λύπη θεραπευομένη C, θεραπευομένης λύσσῃ Merkelbach (19) μηδ' ἀναπαυομένη Pall. (21) συνζῆν R/ θελήσῃς RCPall. , ἐθελήσειας D (22) τῶν λόγων CDPall./ καὶ ante κτήσῃ om. C (23) φίλος CD (24) ἀγαλλιώμενος D/ κακοὺς δὲ D (26) τράπεζαι CD/ ἀπόλαυσις CDP ἀπολαύσεως R (27) ἑτέρων om. C

ρων ζώων κρέας,οὐδὲ γίνομαι τάφος νεκρῶν ἀλόγων. πρόνοια γάρ μοι τροφὴν φέρει καρποὺς ὡς φίλη μήτηρ τῷ τεχθέντι γάλα.

§25 ἀλλὰ σὺ ζητεῖς,'Αλέξανδρε,τοῦ μαθεῖν παρ' ἐμοῦ,τί περισσὸν τῶν ἄλλων πατέρων κέκτημαι ἢ τί οἶδα σοφὸν παρὰ πολλούς. ἐμὲ βλέπεις,βιῶ ὡς ἐξ ἀρχῆς ἐκτίσθην,ζῶ,ὡς παρὰ τῆς μητρὸς ἐτέχθην,γυμνὸς ἄνευ πλούτου καὶ φροντίδων. διὰ τοῦτο,ὅσα ὁ θεὸς ποιεῖ,οἶδα καὶ τί γενέσθαι δεῖ,ἐπίσταμαι. ὑμεῖς δὲ θαμβεῖσθε περὶ τῶν καθ' ὥραν παρεχομένων ἐφ' ὑμῖν μαντευόμενοι,μὴ συνιέντες τὰ καθ' ὥραν ἡμῖν δεικνύμενα ἔργα τοῦ θεοῦ· λιμούς,λοιμούς,πολέμους,κεραυνούς,αὐχμούς,ὄμβρους καὶ καρπῶν φθορὰς προγινώσκω ἐγὼ καὶ πῶς καὶ πόθεν ταῦτα γίνεται καὶ διὰ τί· ἐμοὶ παρέχει γνῶσιν πρόνοια· καὶ τοῦτο λίαν εὐφραίνει με,ὅτι τῶν ἰδίων ἔργων ὁ θεὸς ἐμὲ σύμβουλον πεποίηκεν,τὴν δικαιοσύνην αὐτοῦ δεικνὺς πρὸς μέ. πολεμίων φόβος ἐὰν ἐπέλθῃ βασιλεῦσιν καὶ ἑτέρα πτόησις,πρὸς μὲ ἔρχονται ὡς προάγγελον θεοῦ· καὶ ἱκετεύω,πείθω αὐτὴν ἀγαθόν τι δοῦναι τοῖς παροῦσιν πρός μέ,καὶ τὸν φόβον τούτων καταλύσας μετὰ θάρσους αὐτοὺς ἀποπέμπω.

§26 τί βέλτιον,εἰπέ μοι,καταβλάπτειν ἀνθρώπους καὶ κακῆς δόξης ὄνομα ἔχειν ἢ μᾶλλον τούτους φυλάττειν καὶ εὐεργέτην γνωρίζεσθαι; καὶ τί πρέπει τοῖς υἱοῖς τοῦ θεοῦ,πολεμεῖν καὶ κατασκάπτειν τὰ ὑπὸ τῆς προνοίας δημιουργηθέντα ἢ εἰρηνεύειν καὶ προσανοικοδομεῖν τὰ πεπονημένα καὶ κατερριπωμένα ὡς τοῦ δημιουργοῦ λάτριν; οὐκ ὠφελήσει σε,'Αλέξανδρε βασιλεῦ,ἡ ἐξουσία αὕτη οὐδὲ τὸ πλῆθος τοῦ χρυσίου ἢ οἱ πολλοὶ ἐλέφαντες οὐδὲ ἐσθὴς ἡ ποικίλη καὶ διάφορος ἡ περὶ σὲ οὐδ'ὁ στρατὸς ὁ νῦν σοι περιστοιχιζόμενος οὐδ' ἵπποι καὶ

(1) πρόνοιά γάρ μοι om.C (2)τροφὴν χορηγεῖ τοὺς καρποὺς D/ post καρποὺς add.ἡ γῆ C (3) περισσόν τι C (4) παρὰ πολλῶν C (5) ἐμέ,ὃν βλέπεις,οὕτως βιῶ D/ ἐκτίσθην RC, ἐπλάσθην D/ ζῶ δέ D (7) ὅσα ὁ θεὸς ποθεῖ,οἶδα· ὡς δοῦλος αὐτοῦ ἐν τούτοις καταναγκάζομαι ὡς θνητὸς χάριτι αὐτοῦ καὶ τὸ τί γενέσθαι μετρικῶς ἐπίσταμαι ἐκ θεοῦ προβλέπων. ὑμεῖς δὲ κτλ. C (8) ὑμεῖς δὲ - 1o τοῦ θεοῦ e cod.D sumpsi, ὑμεῖς δὲ θαμβεῖσθε μαντευόμενοι περὶ τῶν καθ' ὥραν ἡμῖν δεικνύμενα ἔργα θεοῦ R, ὑμεῖς δὲ θαμβεῖσθε μαντευόμενοι περὶ τῶν καθ' ὥρας ἐφ' ὑμῖν περιερχομένων,μὴ συνιέντες τὰ καθ' ὥραν ὑμῖν δεικνύμενα ἔργα θεοῦ C (9) ἡμῖν δεικνύμενα R, ὑμῖν δεικνύμενα CD (1o) λιμοὺς ὅμου καὶ D, λιμοὺς δὲ καὶ C/ ὄμβρους om. C (11) φθορὰς DPall. φορᾶς RC/ ἀλλ' ἐγὼ προγινώσκω D/ ταῦτα γίνονται D (12) ἐμοὶ γὰρ D, ἐμοὶ παρέχει γὰρ C/ ἡ πρόνοια τούτων (om.C) DC / καὶ τοῦτο δὴ D (13) ὅτι ὁ θεὸς μετὰ τῶν ἰδίων ἔργων C (14) πεποίηκεν ὡς υἱὸν ἀγαπητὸν D/ αὐτοῦ δεικνὺς D, om.RC (15) ἢ ἑτέρα πτόησις D (16) αὐτὴν: scil.θεοῦ πρόνοιαν / ἔρχονται· καὶ ἱκετεύω τὸν θεὸν ἀγαθόν τι δοῦναι αὐτοῖς καὶ τὸν φόβον αὐτοῖς καταλύσας κτλ.C, ὡς πρὸς ἄγγελον θεοῦ· καὶ τῆς προνοίας τούτου δεόμενος αὐτὴν ἀγαθόν τι δοῦναι τοῖς πρός με ἐρχομένοις οἰκονομῶ καὶ τὸν φόβον κτλ.D (17) possis παριοῦσι (18) οἶκαδα (sic) ἀποπέμπω D (19) τί οὖν D (21) σε γνωρίζεσθαι C,γνωρίζεσθαι παρ'αὐτῶν D/ τοῦ om.C (23) προσοικοδομεῖν C/ κατερηριμμένα Merkelbach (24) ἔχειν ὡς C/ λάτριν RCPall, δοῦλα D/ βασιλεῦ 'Αλέξανδρε CD (25) ἢ οἱ πολλοὶ ἐλέφαντες om. C (27) ὁ νῦν σε περιστειχίζων D/ οὐδ'οἱ χρυσοχάλινοι ἵπποι C

οἱ δορυφόροι καὶ πάντα,ὅσα σὺ μετὰ πολέμων καὶ μάχης ἀφείλω· ἀλλ' ὀνήσει σε τὰ μέγιστα,ἐὰν πεισθῇς τοῖς ἐμοῖς λόγοις καὶ ὑπακούσῃς τῆς ἐμῆς φωνῆς.

§27 σὺ δέ,'Αλέξανδρε,ἐάν με φονεύσῃς,οὐ φοβοῦμαι,λέγοντά με τὰ συμφέροντα· ἀπελεύσομαι γὰρ πρὸς τὸν θεόν μου,ὃς κατεσκεύασεν τὰ πάντα· αὐτὸς γὰρ οἶδε μου τὴν δίκην καὶ τοῦτον λέληθεν οὐδέν,οὗ ὄμμα πάντες οἱ ἀστέρες,ἥλιος καὶ σελήνη· καὶ αὐτὸς κρίνει καὶ τοὺς ἄλλους ἀδικοῦντας,ὃν οὐ λήσῃ οὐδὲ τόπον ἕξεις ποῦ φεύγειν· τούτου ἀναστὰς ὅμως οὐδὲ τούτου τὴν δίκην παρελεύσῃ· ὥστε,βασιλεῦ 'Αλέξανδρε, μὴ κατάβαλλε,ὃ ὁ θεὸς θέλει κτίζεσθαι· μηδ' ἀφανίζειν βιάζου,ἃ ἐκεῖνος κοσμεῖν βούλεται· μηδὲ σπένδε αἷμα πόλεων, ἢ νεκρῶν ἔθνη διαβαίνειν· σεαυτῷ γὰρ μᾶλλον ζῆσαι κρεῖττον ἤπερ ἄλλους κατακτείνειν καὶ μὴ θανόντα ἄλλους μακαρίζειν· καὶ ζημίαν εἰδέναι μᾶλλον τὰ τῶν ἄλλων ἁρπάζειν ἤτε κέρδος ἡγεῖσθαι τοῦτο.

§28 τί μία ψυχὴ γενόμενος τοσαῦτα ἔθνη καταλῦσαι θέλεις; τί τὰς ἀλλοτρίας συμφορὰς ὡς ἑαυτοῦ κέρδη ὁρᾷς; τί κατὰ δακρυόντων γελᾷς; μνήσθητί μου τοῦ ἐπ' ἐρημίαις,ἐμοῦ τοῦ γυμνοῦ καὶ πενιχροῦ,καὶ σεαυτὸν κέρδησον καὶ τοὺς πολέμους καταλύσας τὴν τῆς φιλίας πρόνοιαν ἄσπασαι καὶ εἰρήνην· καὶ μὴ ζήτει ἐν κακοῖς ἀνδρείαν ἔχειν,ἀλλὰ μεθ' ἡμῶν ἀμέριμνον βίον διάγειν· ἀπόρριψον ἀπὸ σεαυτοῦ τοὺς τῶν προβάτων μαλλοὺς καὶ μὴ κατάφευγε ἐπὶ σκέπην νεκράν· τότε τιμήσεις ἑαυτὸν μιμησάμενος ἡμᾶς,τοιοῦτος γεγονώς,οἷος καὶ ἐκτίσθης. πειράζεται γὰρ εἰς ἀρετὴν ἐν ἐρημίᾳ ψυχή.

§29 ἑλοῦ τοιγαροῦν,ὦ βασιλεῦ 'Αλέξανδρε,βίον δίαγειν

(1) οἱ om. D/ ὅσα σοί ἐστι καὶ μετὰ πολέμων ἀφείλω C/ ἀφείλου D (3) ὑπακούσῃς μου τῆς φωνῆς C (4) λέγοντά σοι τὰ συμφέροντα C, ἐάν με φονεύσῃς, λέγοντά με τά σοι χρηστὰ καὶ συμφέροντα οὐ φοβοῦμαι D (6) αὐτὸς γὰρ οἶδε CDPall., αὐτὸς παρεῖδεν R (7) ὄμματα CDPall. (8) ἡ σελήνη C (9) ποῦ φεύξῃ τοῦτον οὐδὲ τούτου τὴν δίκην παρελεύσῃ D, ποῦ φεύξῃ ἀπὸ προσώπου αὐτοῦ ὅμως C/ τούτου: scil. τούτου τοῦ τόπου ἀναστάς (11) κατάβαλλε RCPall., κατάσκαπτε D/ ἃ ὁ θεὸς CDPall. (12) σπένδε DPall, σπεῦδε RC (13) ἢ νεκρῶν ἔθνη διαβαίνειν C, μηδὲ νεκροῦ ἔθνη διαβαίνων ἐπ'αὐτά RD/ σεαυτὸν γὰρ C/ ζῆν D/ κρεῖττον ἡγοῦ ἤπερ D, κρεῖττόν τι ἤπερ ἄλλους κατακτείνῃς C (14) καὶ μὴ - μακαρίζειν om.C/ μακαρίζειν ἄλλους D (17) τί τοιγαροῦν D/ θέλεις CDPall., θέλων R/ post θέλεις add. CDPall. τί σὺ ἀφρόνως εὐφραινόμενος πολλῶν κακῶν τὴν οἰκουμένην ἐμπιπλᾷς; (19) μου om.CP (21) τὴν τῆς φιλίας πρόνοιαν ἄσπασαι καὶ εἰρήνην RC, τὴν τῆς φιλίας ἄσπασαι εἰρήνην D, τὴν τῆς προνοίας φίλην ἄσπασαι εἰρήνην Pall. melius (22) ἀλλὰ ὡς ἡμεῖς ἀμερίμνως διάγειν C (24) καὶ μὴ - νεκρὰν om. C (25) σεαυτὸν C/ ὅταν μιμησάμενος D/ γεγονὼς RCPall., γένοιο D (26) ἐπλάσθης C/ ἐν ἐρημίαις C (27) τοίνυν D/ βίον ἄϋλον ἡμέτερον διάγειν C

ἄϋλον ἡμέτερον.οὐκ οἶδα,εἰ οὕτως εἶ μακάριος,ὡς δυνηθῆναι σε πεισθῆναι τοῖς ἡμετέροις λόγοις καὶ σεαυτὸν εὑρεῖν. νῦν ἀναμένουσίν σε Μακεδόνες,ἵνα πολέμους καταβάλλωσιν καὶ ἀνθρώπους κατασφάξωσιν καὶ τὰ ἐκείνων διαρπάσωσιν,καὶ λυποῦνται σήμερον οἱ ἐπιθυμοῦντες αἱμάτων ἀλλοτρίων,ἔθνος βλέποντες σῳζόμενον. ἰδίων γὰρ πλεονεξιῶν εἰσιν στρατιῶται, σὴν πρόφασιν ἔχοντες ἄδικον.

§30 πότε βίον ἀμέριμνον κτήσῃ τὸν παρὰ θεοῦ σοι ἀπονεμηθέντα,ἵνα καὶ σεαυτῷ ζήσῃς καὶ ἄλλους μὴ κατακτείνῃς; νῦν δ'ἄρα τούτων ἀκούων τῶν λόγων τί μέλλεις λοιπὸν σεαυτῷ προσανέχειν; ἢ ζητεῖς ἁρπάζειν ἀκμὴν καὶ ταράσσειν ἔθνη καὶ φονεύειν ἀνθρώπους; καὶ ἃ μὲν εἰργάσω,ἃ δὲ πράττεις, ἃ δὲ ἔμελλες ποιεῖν. ἀλλ' ἐὰν τῶν ἐμῶν μὴ ἀνασχόμενος λόγων ἐνθένδε ἀπαλλαγῇς,καὶ ὧν ἐν αἰθέρι ὄφομαί σε τούτων τὰς δίκας τιννῦντα καὶ στεναγμοῖς πικροῖς ὀδυρόμενόν σε τῶν ὑπό σου πεπραγμένων τὰς εὐθύνας διδόντα. καὶ τότε τῶν ὑπ' ἐμοῦ σοι διακονουμένων θείων λόγων μνησθήσῃ,ὅταν μηκέτι ἀκολουθῶσιν ἵπποι δεδιδαγμένοι πολέμους καὶ πλήθη τῶν δορυφόρων. τότε θρηνήσεις οἰμώζων,ζητῶν ὃν εἰς μάτην ἀπώλεσας βίον,εἰς ταραχὰς ἀτάκτους καὶ πολέμους αἱμάτων ἀθῴων,ὅταν μηδὲν ἄλλο ἔχῃς ἰδεῖν σου κύκλοθεν,εἰ μὴ μνήμην κακῶν,ὧν ἐσώρευσας ἑαυτῷ. εἶδον γὰρ ἐγὼ τὰς ἐκ θεοῦ ἐπαγομένας τιμωρίας δικαίως ἀνθρώποις ἀδίκοις· τότε μοι ἐρεῖς ἐκεῖ "ἀγαθός μοι τὸ πρὶν ἦσθα σύμβουλος,ὦ Δάνδαμι". ἐκεῖ γὰρ παραστήσονταί σοι ψυχαὶ αἱ μάτην πολεμηθεῖσαι ἀδίκως παρά σου. πόσοις ἀρκέσεις ἀπολογούμενος τότε; οὐδὲν δὲ ὠφεληθήσῃ ὁ μέγας φανείς,ὁ νῦν τὸν κόσμον νικῆσαι

(2) ἑαυτὸν D (3) possis πολεμίους, πόλεις Pall./ καταβάλλωσιν RPall. , καταλάβωσι C, ἐγείρωσι D (4) καὶ τὰ ἐκείνων διαρπάσωσιν om. C (7) σὴν RD, τὴν C, possis τὴν σὴν (8) πότε οὖν ἀμέριμνον κτήσῃ βίον D, ἀλλ', ὦ 'Αλέξανδρε,πότε C (1o) ἀκροώμενος τῶν ἐμῶν λόγων τί μέλλεις πράττειν D (11) ζητεῖν D (13) μέλλεις CDPall. / ἀνασχόμενος D, ἀνάσχειν R, μὴ ἀνέχῃ λόγων ὅταν ἐνθένδε C (14) καὶ om. D/ καιόμενον αἰθέρι Merkelbach/ ἔφομαιν σε R (15) τίννυνται R/ τὰς δίκας τούτων τιννῦντα D, τὰς δίκας τῶν ὑπό σου πεπραγμένων ἐν στεναγμοῖς ὀδυρόμενον ἀποδίδοντα C (18) ἀκολουθῶσί σοι D, ἀκολουθήσωσί σοι C (19) τῶν om. D/ οἰμώζων om. C (2o) ἀπώλεσας CDPall, ἀπώλεσε R (22) ἐσώρευσας ἑαυτῷ CD, ἐπώρευσας ἑαυτὸν R/ οἶδα C (23) δικαίως CD, δικαίοις R (25) ψυχαὶ αἱμάτων πολεμηθεῖσαι R, ψυχαὶ αἵμασι πεφοινιγμέναι αἱ μάτην πολεμηθεῖσαι D, αἱ ψυχαὶ αἱ μάτην πολεμηθεῖσαι παρά σου C (26) πόσοις οὖν D/ πλὴν οὐδὲν ὠφεληθήσῃ D (27) φανεὶς R, κληθεὶς D, κληθεὶς καὶ φανεὶς CPall./ ἀλλ'ὁ νῦν D

θέλων,νενικήμενος τότε."

§31 ὁ δὲ 'Αλέξανδρος πάνυ ἡδέως αὐτοῦ ἤκουεν καὶ οὐκ ἐθυμώθη· ἦν γὰρ καὶ ἐν αὐτῷ πνεῦμα θεῖον,ἀλλ' ὑπό τινος δαίμονος κακοῦ εἰς φόνους καὶ ταραχὰς ἐτράπη· σφόδρα καταπλαγεὶς ἐπὶ τοῖς παραδόξοις λόγοις τοῦ Δανδάμεως ἀπεκρίνατο 'Αλέξανδρος·

§32 "ἀληθινὲ διδάσκαλε Βραγμάνων,Δάνδαμι,ὁ ἀναπλάττων ἀνθρώπους τῇ σοφίᾳ τῆς προνοίας τούς σοι παρατυγχάνοντας,ὃν ἐγὼ μαθεῖν παρὰ Καλαίνου καὶ ποθήσας συντυχεῖν εὗρον πάντων ἀνθρώπων ὑψηλότερον διὰ τὸ ἐν σοὶ πνεῦμα. οἶδα,ὅτι ἀληθῶς λέγεις τὰ πάντα· ἔπλασε γάρ σε ὁ θεὸς καὶ αὐτὸς κατέπεμψέ σε ἐν τοῖς τόποις τούτοις,ἐν οἷς ἔξεστίν σοι εὐδαιμονεῖν ἀτάραχον ὄντα τῇ φύσει ὅλῃ,πλούσιον,ἀνελλιπῆ,πολλῆς ἡσυχίας ἀναλαβόντα.

§33 ἐγὼ δὲ τί ποιήσω ὁ ἀδιαλείπτοις φόβοις συνοικῶν καὶ συνεχέσι καταντλούμενος ταραχαῖς; πολλοὺς ἔχω τοὺς τηροῦντάς με καὶ φοβοῦμαι τούτους τῶν πολεμίων μᾶλλον· χείρονες οἱ φίλοι τῶν ὑπεναντίων,οἳ καθ' ἡμέραν ἐπιβουλεύουσί με πλέον τῶν ἐχθρῶν μου,καὶ οὐδὲ χωρὶς αὐτῶν ζῆσαι δύναμαι οὔτε θαρσῶ πάλιν τούτοις σὺν αὐτοῖς ὤν· οὓς γὰρ φοβοῦμαι, ὑπ' αὐτῶν τηροῦμαι· ἡμέρας μὲν ταράσσων ἔθνη,ἐπιστάσης τῆς νυκτὸς ἐκταρασσόμενος ὑπὸ τῶν λογισμῶν μου,μή τίς με ἐπιστὰς ξίφει με χειρώσηται· οἴμοι· καὶ κολάσας τοὺς ἀπειθοῦντάς μοι λυποῦμαι,καὶ μὴ κολάσας καταφρονοῦμαι πάλιν.

§34 καὶ πῶς οἷόντε μοί ἐστιν ταῦτα τὰ ἔργα ἀρνήσασθαι; καὶ γὰρ εἰ θελήσω ἐπ' ἐρημίας ζῆσαι,ὑπὸ τῶν ὑπασπιστῶν οὐ συγχωροῦμαι. οὐκ ἔξεστι δέ μοι μᾶλλον,εἰ καὶ ἐδυνάμην,ἀπὸ

(1) τότε φανήσῃ D (2) 35A § 31 - § 39 = Mueller III 15= Derret II § 31 - § 39 (3) ἐθυμοῦτο D/ καὶ ἐν αὐτῷ γὰρ ἦν C (4) ἐτράπην RC/ σφόδρα οὖν D, καὶ πάλιν 'Αλέξανδρος σφόδρα καταπλαγεὶς C (5) ἀπεκρίνατο οὕτως C (7) ἀνθρώπους τούς σοι παρατυγχάνοντας τῇ σοφίᾳ κτλ. D (9) μαθεῖν RC, μαθὼν DPall./ καὶ ποθήσας συντυχεῖν om. C (1o) πνεῦμα ...πυχ....κατεπεισα· οἶδα δὲ C (11) ἔπλασε RC, ἐγέννησε DPall. (12) κατέπεψε R (13) ὅλῃ τῇ φύσει DPall./ καὶ ἀτάραχον ὄντα πάσῃ τῇ φύσει πολλῆς ἡσυχίας ἀπολαβεῖν C (14) ἀναλαβόντα R, ἀπολαύοντα DPall. (15) ἀδιαλείπτως C (16) τηροῦντας RD, τυραννοῦντας C (18) φίλοι εἰσὶν ἐκ τῶν ὑπεναντίων C (2o) ὅν τε θαρσῶ R/ ἀλλ'οὐδὲ θαρρῶ τούτοις κτλ.D, οὐδὲ θαρσῶ τούτοις πάλιν ὧν σὺν αὐτοῖς C (21) μὲν γὰρ ἔθνη ταράσσω D/ ταράσσω C/ ἐπιστάσης δὲ νυκτός CD (22) ἐκταράσσομαι DPall, ταράσσομαι C (24) κολάσας αὐτοὺς C (26) ἐπ' ἐρημίαις CPall. (27) οὐκ γάρ μοι ἔξεστι,εἰ καὶ D

τούτων δραπετεῦσαι ταύτῃ λάχοντα τῇ φήφῳ. τί οὖν ἄρα ἀπολογήσομαι τοίνυν τῷ θεῷ, ὃς γενομένῳ τοῦτον ἐπένευσεν τὸν κλῆρον;

§35 σὺ δέ, ὦ πρεσβῦτα, κτῆμα τίμιον θεοῦ, ἀνθ' ὧν ὠφέλησάς με καὶ ηὔφρανάς με τοῖς λόγοις τῆς σοφίας σου καὶ ἀπὸ πολέμων ἡμέρωσάς με, δέξαι μου τὰ δῶρα, ἃ ἐνήνοχά σοι, καὶ μή με ἀτιμάσῃς, ἐγὼ γὰρ εὐεργετοῦμαι σοφίαν τιμῶν."

§36 καὶ ταῦτα εἰπὼν 'Αλέξανδρος πρὸς τὸν Δάνδαμιν ⌊ἐπένευσε τοῖς οἰκέταις αὐτοῦ⌋ οἱ δὲ προσέφερον αὐτῷ χρυσὸν καὶ ἄργυρον ἐπίσημον καὶ ἐσθῆτα τιμίαν καὶ ἄρτους καὶ ἔλαιον. ὁ δὲ Δάνδαμις ἰδὼν ἐγέλασε καὶ εἶπεν τῷ 'Αλεξάνδρῳ·

§37 "πεῖσον δὴ ὄρνεα τὰ περὶ τὴν ὕλην κελαδοῦντα λαβεῖν χρυσὸν καὶ ἄργυρον καὶ ἄμεινον ἠχῆσαι, ἀλλ' οὐδὲν δυνῇ πεῖσα ταῦτα· σὺ δὲ οὐ πείσεις ἐμὲ χείρονα ὄρνεων γενέσθαι· ὃ γὰρ μήτε ἐσθίων μήτε πίνων οὐ λαμβάνω ἀνωφελὲς κτῆμα, οὐδὲ τηρῶ ἐπιβλαβερὸν ψυχῆς χρῆμα, οὐδὲ ἐλεύθερον ἐμὸν βίον ἀπὸ πάσης μερίμνης νῦν δεσμεύω, οὐδὲ μάτην ἐμὴν καθαρὰν διάνοιαν θολώσω· μὴ γένοιτο· ἀλλ' οὔτε ἀγοράσαι τι ζητῶ ἐπ' ἐρημίας οἰκῶν· τὰ γὰρ πάντα δωρεὰν ὁ θεὸς δίδωσί μοι, καρποὺς εἰς τροφὴν καὶ ὕδωρ εἰς ποτόν, ὕλας εἰς τόπον οἰκίας, ἀέρα εἰς αὔξησιν τῶν πάντων. οὐδὲν γὰρ ὁ θεὸς χρυσίῳ πωλεῖ, ἀλλὰ χαρίζεται τὰ πάντα ἀγαθά, φρένας διδοὺς τοῖς θέλουσιν λαμβάνειν.

§38 ἱμάτιον περιβέβλημαι, ὃ ἐξ ὠδίνων ἔχοντά με ἡ μήτηρ ἔτεκεν, ἀέρι τέρπομαι καὶ ἡδέως ἐμαυτὸν τοῦτον βλέπω. τί καταναγκάζεις με περιθέσθαι ὅλου τοῦ σώματος δεσμόν; ἐμοὶ ἡδύτερον ἡ ἀμεριμνία πάσης τῆς κτίσεως καὶ μέλιτος γλυκύ-

(1) ταύτῃ λαχόντα RC, ταύτην λαχόντα τὴν φύσιν τῆς ψήφου D, ταῦτα λαχόντι Derret (2) τοίνυν om.D/ γενομένῳ μοι C/ ὅς μοι τοῦτον D (4) ὠφέλησας RCPall, ἐφίλησας D (8) κατένευσε τοῖς οἰκέταις αὐτοῦ φέρειν τὰ δῶρα C (1o) ἐπίσημον om. C/ τιμίαν R, παντοίαν CDPall/ ἄρτους καὶ οἶνον καὶ ἔλαιον C (14) σὺ δὲ οὐ πείσεις RCPall, ὅθεν οὐδὲ ἐμὲ πείσεις D (15) οὐδὲ λαμβάνω ἀνωφελές τι κτῆμα C, οὐδὲ ἀνωφελές τι κτῆμα λαμβάνω D (16) κτῆμα καὶ χρῆμα C/ ἐμὸν βίον R, ἡμῶν βίον C, ὄντα τὸν βίον D (17) δεσμεύσω CD/ τὴν ἐμὴν D (18) ἐπ' ἐρημίαις C (19) δίδωσί μοι ὁ θεὸς C (2o) ποτόν RCPall, πόσιν D (22) χαρίζεται τοῖς πᾶσιν ἀγαθὰ καὶ φρένας δίδωσι D (24) ἐξ ὠδίνων ἡ μήτηρ τεκοῦσα περιέβαλεν C/ ὠδίνων αὐτῶν D (25) τέτοκεν D/ ἀέρα C/ ἐμαυτὸν om.C/ τοιοῦτον ὄντα βλέπω D/ καὶ τί C/ τί τοίνυν καταναγκάζεις με ὅλῳ τῷ ἡμετέρῳ σώματι περιθέσθαι δεσμόν; ἐμοὶ πάσης κτίσεως ἡδύτερον ἡ ἀμεριμνία καὶ γλυκύτερον μέλιτος D (27) τῆς om.C

τερον τὸ ἀπὸ ποταμοῦ ποτὸν ἰώμενον τὴν κατὰ φύσιν δίψαν. εἰ δὲ καὶ ἄρτοι οὗτοι εἰς τροφήν εἰσιν, τί αὐτοὺς περιέκαυσας πυρί; οὐκ ἐσθίω ἐγὼ ἀπόβρωμα πυρός, οὐδ' ἀφαιροῦμαι ἀλλοτρίαν τροφήν· τὸ γευσάμενον αὐτὰ πῦρ καταδαπανάτω. ἵνα δὲ σὲ μὴ ἀτιμάσω τιμῶντα σοφίαν, δέχομαι τὸν ἔλαιον."

§39 καὶ ἀναστὰς τὴν ὕλην περιῆλθεν καὶ συναγαγὼν ξύλα ἐποίησεν σωρὸν καὶ ἀνάψας πυρὰν εἶπεν· "Βραγμᾶνος πάντα ἔχει καὶ τρέφεται προνοίᾳ." καὶ ἱκανῶς ἀνάπτων τὸ πῦρ ἐπέχεεν, ἕως πᾶν ἐδαπάνησεν τὸν ἔλαιον, καὶ ἦρεν ὕμνον τῷ θεῷ λέγων· "ἀθάνατε κύριε, εὐχαριστῶ σοι ἐν παντί· βασιλεύεις γὰρ τῶν ὅλων σὺ μόνος ἀληθῶς, παρέχων σου τῷ πλάσματι πάντα πλουσίως εἰς τρυφήν· δημιουργήσας δὲ τὸν κόσμον τοῦτον σὺ διατηρεῖς ἀναμένων τὰς ψυχάς, ἃς ἐξαπέστειλας ἐκεῖ, ἵνα πολιτευσαμένας ἀσφαλῶς τιμήσῃς ὡς θεός, τὰς δ' ἀπειθησάσας τοῖς σοῖς θεσμοῖς κατακρίσει παραδώσῃς· πᾶσα γὰρ διάκρισις παρά σοι καὶ ἀπέραντος ζωὴ ἑτοίμη παρά σοι· χρηστότητι γὰρ ἀϊδίῳ τοὺς πάντας ἐλεεῖς."

ὑποστραφεὶς δὲ πρὸς 'Αλέξανδρον ὁ Δάνδαμις εἶπεν·

§41 "τοιοῦτοί ἐσμεν πάντες, 'Αλέξανδρε· ὁ δὲ σὸς φίλος Κάλαινος ἡμῖν κακὸς ἀνὴρ ἐγένετο πρὸς βραχὺν χρόνον μιμησάμενος ἡμῶν τὸν βίον· καὶ ἐπεὶ μὴ ἐτύγχανεν θεοφιλής, καταλιπὼν ἡμᾶς ἐδραπέτευσεν πρὸς τοὺς Ἕλληνας καὶ παρὰ συνήθειαν ἰδὼν ἡμέτερα μυστήρια καὶ ταῦτα βεβήλοις ἐκπομπεύσας ἔθνεσιν ἐντεῦθεν εἰς πῦρ ἀθάνατον μετέστησεν αὐτόν. σὺ δὲ εἶ κακοῦ ἔθνους δεσπότης Μακεδόνων, τὸ πρὶν ἐλοιδόρεις Βραγμᾶνας καὶ ἐκέλευες τούτους ἀπόλλυσθαι πεισθεὶς ψευδέσι λόγοις, ὅπερ οὐ πρέπει βασιλεῖ κεκηδομένῳ ἐθνῶν ἄρχειν οὐδὲ

(1) ὁ - - ποτός ἰώμενος C/τὴν κατὰ φύσιν δίψαν ἰώμενον D
(2) οἱ ἄρτοι οὗτοι CDPall. (4) τὸ γευσάμενον -- καταδαπανάτω om.C (5) μή CDPall, om.R/ τιμῶντα σοφίας D, τιμῶν σοφίαν C/ τὸ ἔλαιον· καὶ ταῦτα εἰπὼν ὁ Δάνδαμις ἔλαβε τὸ ἔλαιον καὶ ἀναστὰς CD (7) Βραγμᾶνες πάντα ἔχουσι καὶ τρέφονται προνοίᾳ D (8) ἀνάπτων D, ἀναχέων R, καὶ ἱκανῶς ἔχεε ἔλαιον ἕως πᾶν ἐδαπάνησε πυρὶ καὶ ἦρεν C (9) τὸ ἔλαιον D/ ἦρεν οὖν D
(13) ἐκεῖ om.D/ καὶ ἀναμένεις τὰς ψυχάς,ἃς ἔδωκας ἡμῖν,ἵνα C
(15) διάκρισις R, δίκαια κρίσις CDPall. (16) ἀπέραντος καὶ ἀτελεύτητος καὶ αἰώνιος ἐν σοὶ ζωή D
(17) post ἐλεεῖς D haec add. ὁ μόνος ἔχων ἀθανασίαν,φῶς οἰκῶν ἀπρόσιτον,ὁ ὑπὸ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου προσκυνούμενος καὶ δοξαζόμενος,ὁ ὑπὸ τῶν ἀΰλων ταγμάτων καὶ ὑπερκοσμίων δορυφορούμενος,καὶ ἀνυμνούμενος ἀσιγήτῳ καὶ ἀκαταπαύστῳ φωνῇ, πρόσδεξαι ταύτην τὴν θυσίαν ἡμῶν ὡς καθαρὸν καὶ εὔοσμον θυμίαμα ἐνώπιόν σου,ὡς Ἀβὲλ τὰ δῶρα,ὡς Ἀβραὰμ τὴν θυσίαν καὶ Ἀαρὼν τὰς ὁλοκαρπώσεις.
(18) ἐπιστραφείς D, καὶ ὑποστραφεὶς πρὸς C
(19) 35A § 41 - § 57 = MuellerIII 16= Derret II § 41 - § 57
(20) πρὸς ὀλίγον χρόνον D/ μισάμενος R (21) ἐπεὶ δὲ οὐκ ἦν θεοφιλής D (22) post Ἕλληνας perg.D καὶ τὰ ἡμέτερα μυστήρια βεβήλοις ἔθνεσιν ἐξεπόμπευσεν et post συνήθειαν perg.C ἰδὼν τὰ ἡμέτερα μυστήρια καὶ ταῦτα βέβηλος ὢν ἐκπομπεύσας τοῖς ἔθνεσιν (24) ἑαυτὸν μετέστησεν CD (25) σὺ δὲ κακοῦ ἔθνους δεσπότης ὢν Μακεδόνων C/ Μακεδόνων δεσπότης,ἀλλὰ καὶ ἐλοιδόρεις D
(26)post ἀπόλλυσθαι perg.C ὅπερ βασιλεῖ οὐ πρέπει ποιεῖν καὶ κηδεμόνι ἐθνῶν καὶ τοῖς διαβάλλουσιν πείθεσθαι
(27) βασιλέα κηδόμενον D/ οὐδέ D, τὸ R

τοῖς διαβάλλουσιν πείθεσθαι.

§42 ἡμεῖς γὰρ τοῦ ἰδίου βίου θεῷ λόγον δώσομεν, ὅταν πρὸς αὐτὸν ἀπέλθωμεν· αὐτοῦ γάρ ἐσμεν ἔργα πάντες οἱ ἀντιποιούμενοι τῆς αὐτοῦ δικαιοσύνης· καταφρονοῦμεν κενῆς δόξης τῆς παρὰ τοῖς ἄφροσιν οὔσης. πῶς οὖν δύνασθε ὑμεῖς τὰ ἡμέτερα φρονεῖν κακῶς ζῶντες καὶ τοῦ ὄντως καλοῦ ἀμελοῦντες; ἡμεῖς δὲ οἱ Βραγμᾶνες μνημονεύοντες ὡς ἐγεννήθημεν, τῇ φύσει ἐκείνῃ συζῶμεν καὶ βλέπομεν, πῶς ἀμέμπτως ζῆν δυνάμεθα· ἐν ἀμεριμνίαις διάγομεν περὶ δενὸς φροντίζοντες· φροντὶς γὰρ ὕλης βίου βροτὸν χωρίζει ἀπὸ θεοῦ· ἕκαστον γὰρ ἡμῶν ἡ πρόνοια ἰδίας γνώμης ἀπαιτήσει λόγον καὶ τῶν ταύτης πράξεων δίκας δώσομεν. διὰ τοῦτο χαίρομεν ἡμεῖς ἐν ἐρημίαις καὶ μέσαις ὕλαις καθεζόμενοι, ἵνα εἰς πᾶν ἀρέσκον τῷ θεῷ ἐφιστάνωμεν τὸν νοῦν, ἵνα μὴ αἱ ἀδολεσχίαι τῶν λοιπῶν ἀνθρώπων τὰς φυχὰς ἡμῶν περισπάσωσιν ἀπὸ τῆς τοῦ θεοῦ δοξολογίας.

§43 μακάριος γάρ ἐστιν ὁ μηδενὸς τῶν περισσῶν δεόμενος, δόξης δὲ κηδόμενος τοῦ δεσπότου τῶν ἀπάντων· τὸν γὰρ βουλόμενον πᾶσιν ἀρέσκειν χρὴ καὶ δοῦλον εἶναι πάντων. ἡμεῖς δὲ οὐ χρείαν ἔχομεν πόλεις ἐπιζητεῖν · σύνοδος γάρ ἐστιν λῃστῶν καὶ πολλῆς κακίας γεώργιον. μεγάλους δὲ ἡμῶν οἴκους ὁ θεὸς ἔκτισεν, ὄρη ὑφηλὰ καὶ ὕλας κατασκίους, ἔνθεν καθαρᾶς φύσεως τῆς δεδομένης ἐκ θεοῦ μνήμη σῴζεται· καρποὺς συνάγοντες τούτοις ἐντρυφῶμεν, καὶ ὕδωρ πίνοντες ἀπὸ τούτου εὐφραινόμεθα, καὶ ἡδίστην ἀνάπαυσιν ἐπὶ φύλλοις ἔχομεν, καὶ ἐπὶ τούτοις ἀναπαυόμενοι τὸν κόπον ἀποτιθέμεθα.

§44 πῶς οὖν ὑμεῖς, πολλῶν δοῦλοι ὄντες, τοῖς ἐν πᾶσιν ἐλευθέροις ἐπιτάσσειν δύνασθε; ὑμεῖς γὰρ φυχῆς ἰδίας πολλὰ καὶ

(3) οἱ – 4 δικαιοσύνης om. C (4) καταφρονοῦμεν δὲ D, ἡμεῖς δὲ καταφρονοῦμεν C (5) τὰ ὑμέτερα R (6) καὶ – ἀμελοῦντες om. C (7) δὲ om. D/ ὡς R, πῶς CDPall/ καὶ ἐν ἐκείνῃ συζῶμεν C (8) ἀμέκτως R/ ἀμέμπτως ζῆν δυνάμεθα om.C/ ἐν ἀμεριμνίᾳ CDPall. (9) περὶ δενὸς R, περὶ μηδενὸς CD (1o) βίου glossa ad ὕλης/ ὕλης om.C/ ἕκαστον RDPall, ἑκάστῳ C (13) ἵνα – 14 τὸν νοῦν om. C (14) αἱ om. C/ ὅπως μὴ τῶν λοιπῶν ἀνθρώπων αἱ ἀδολεσχίαι D (19) χρείαν οὐκ C/ σύνοδος – 2o γεώργιον om. C (2o) ἡμῖν ὁ θεὸς οἴκους ἔκτισεν CD (21) ἔνθεν RCPall., ἐν οἷς D/ καθαρᾶς – 22 σῴζεται om. CPall. (22) μνήμης D (23) συνάγοντες D, ἐνσείοντες RC/ πίνοντες RD, πίνομεν CPall/ ἀπὸ τούτου – 25 ἐπὶ τούτοις om. C (24) ἔχομεν καὶ DPall, ἔχομεν κἄν R (25) καὶ τὸν κόπον C (26) πῶς οὖν ἡμεῖς R/ πολλῶν om. C (27) ὑποτάσσειν C/ ὑμεῖς γὰρ CDPall, ἐμῆς γὰρ R/ ἰδίας om.D

ποικίλα ἐπιθυμούσης δοῦλοι ἄτακτοί ἐστε· εἰ γὰρ πολλὰ ἱμάτια θέλετε ἔχειν, δέεσθε τοῦ ποιμένος, τοῦ ὑφάντου, τοῦ κναφέως ἢ καὶ τοῦ ἀμήτοντος· καὶ μή μοι λέγε· "οὐ φορῶ μαλακὰ ἱμάτια." ἴση γάρ ἐστιν δουλεία τὸ ἐπὶ μικρῷ καὶ μεγάλῳ φροντίζειν· ὁ γὰρ ὀλίγου ὀρεγόμενος χρυσίου καὶ πλείονος ἐπιθυμήσει, ὁ μικρᾶς πόλεως βασιλεῦσαι θέλων δηλονότι καὶ τῆς μειζόνος ἡδέως ἀπάρξαι θελήσειεν. ἀλλὰ καὶ ἐν ὀλιγῃ πορφύρᾳ στιλβούσῃ ἐν ἱματίῳ ἐναβρύνεσθε μεγάλως, τῶν Ἰνδῶν ὁλοπορφύρων ὄντων καὶ τῶν δούλων αὐτῶν ὁλοπόρφυρα φορούντων· καὶ ὑμεῖς ἐπίκαλον ἡγεῖσθε τὴν πορφύραν κἂν ὀλίγῃ χρῆσθε· εἰ δὲ καὶ τὸ ὀλίγον παρ' ὑμῖν καλόν ἐστιν, τῷ ὄντι πτωχοί ἐστε καὶ τὰ μικρὰ θαυμάζοντες.

§45 διὰ τί δὲ ζῷα φονεύετε γῆς τέκνα ὄντα καὶ αὐτὰ χρησιμώτατα ὑμῖν ὑπάρχοντα; ἃ μὲν γὰρ κείρετε, καὶ τούτων τὰ ἔρια περιβάλλεσθε, ἃ δὲ ἀμέλγετε, καὶ τὸ γάλα ἐσθίετε, ἐν οἷς δὲ καὶ γεωργεῖτε, τούς καρποὺς ἐμπιπράσκοντες, ἐφ' οἷς δὲ καὶ ἐπιβεβηκότες πολεμεῖτε ἀλλότρια ἁρπάζοντες· καὶ ταῦτα φονεύετε ἀδίκως· καὶ τοῖς μὲν ζῴοις μισθὸς ὁ τοιοῦτος παρ' ὑμῖν· τοὺς μαλλοὺς τούτων ἔξωθεν περιβάλλεσθε, τὰς δὲ σάρκας τούτων ἔσωθεν βαστάζετε καὶ γίνεσθε νεκρῶν ζῴων περιπατοῦντες τάφοι. τοσαύτῃ γὰρ ἀτιμίᾳ ἔργων ἀτόπων βαρυνομένη ψυχὴ πῶς δύναται νοῦν θεοῦ δέξασθαι; ἔασον ἔξωθεν τὰ κρέα δύο ἡμέρας καὶ ὄψει τί γένηται· ὅτι οὐ δυνήσῃ στέξαι τούτων τῆς ὀσμῆς, ἀλλὰ καὶ ἔξω φεύξῃ. πόσαι εἰσδύνουσιν διὰ τούτων εἰς ψυχὴν ἀκαθαρσίαι καὶ χωροῦσιν εἰς νεφροὺς τῶν ἐπιθυμούντων ταῦτα; πῶς οὖν τοῦ τοιούτου πνεῦμα θεῖον δύναται ἐπιφοιτῆσαι τῇ αἰσθήσει; κρέα ἐσθίετε, ἃ σῶμα μὲν πιαίνει, ψυχὴν δὲ κατατήκει, θυμὸν

(2) ποιμένος RCPall, ποιμνίου D (3) κναφέως καὶ τῶν ἄλλων τῶν τὰ τοιαῦτα ἐπιτηδευόντων D/ ἢ καὶ τοῦ ἀμήτοντος om. C (6) τοῦ πλείονος CD/ καὶ ὁ μικρᾶς C (7) ἡδέως om. CDPall/ κατάρξαι D (8) ἐν ἱματίῳ om. C (9) δούλων ὑμῶν D/ post φορούντων perg. C ἐπιζητεῖτε κατασχεῖν· καὶ ὑμεῖς ἐπίκαλον ἡγεῖσθε et D ὑμεῖς δὲ κἂν ὀλίγῃ χρῆσθε τῇ πορφύρᾳ καλὸν ἡγεῖσθε ταύτην· εἰ οὖν τὸ ὀλίγον (11) εἰ - καλόν ἐστιν om. C/ παρ' ἡμῖν R (12) καὶ om. D (13) διὰ τί δὲ RD, καὶ C/ χρησιμώτατα ὑμῖν ὑπάρχοντα CDPall. χρησιμώτερα ὑμῖν ὑπάρχων R (14) γάρ om. C/ τὰ τούτων ἔρια D (15) ἀμέλγοντες τὸ γάλα C (16) γεωργεῖτε CDPall, ὠργεῖτε R/ πιπράσκοντες D/ ἐφ' οἷς δὲ RC, ἔν τισι δὲ D (17) ἁρπάζοντες ἀλλότρια καὶ φονεύοντες ἀδίκως· τοῖς δὲ ζῴοις μισθὸς παρ' ὑμῖν τοιοῦτος· τοὺς μαλλοὺς αὐτῶν D (18) τοὺς δὲ C (19) σάρκας αὐτῶν C (21) γάρ R, γοῦν D, οὖν C/ ἀτόπῳ R/ ἡ ψυχὴ C (22) τότε ὄψει D (23) γενήσεται CDPall/ στέξαι RDPall. στέρξαι C/ τὴν ὀσμήν DPall, τῇ ὀσμῇ C (24) ἔξω φεύξῃ R, ἐκφεύξῃ D, om. C/ πόσαι οὖν διὰ τούτων εἰσδύνουσιν D (25) νεφρούς RDPall, ψυχήν C/ ἐπιθυμούντων ταῦτα πληροῦν; τοιγαροῦν πῶς δύναται πνεῦμα θεῖον ἐπιφοιτῆσαι τῇ αἰσθήσει τῶν τοιούτων ἀνδρῶν D/ πῶς οὖν τοὺς τοιούτους C

τίκτει,εἰρήνην δὲ διώκει,σωφροσύνην δὲ δαμάζει,ἀκολασίαν δὲ ἐξεγείρει,ἐμετοὺς ἐκβλύζει καὶ νόσους ἐνοικίζει· τοῦ σαρκοβόρου τῶν βροτῶν πνεῦμα ἐπαναχωρεῖ καὶ παλαμναῖος δαίμων ἐμφιλοχωρεῖ. καρποὶ δὲ ἀκροδρύων καὶ θινῶν βοτάναι ἔξω ἀφεθέντα κάλλιστον ἀτμὸν ἀπόζει καὶ παρὰ σοφῶν ἑστιαθέντα θεοπρεπῆ νοῦν κύει καὶ τὸ σῶμα τρέπει· ταῦτα ὁ θεὸς ἐφύτευσεν εἰς τροφὴν βροτῶν φρονήσει. ὑμῶν δ' ἀπόλωλεν ὁ νοῦς τῇ ἀδηφαγίᾳ· ἀναπνέετε θυμὸν θηρίων,σαρκῶν ζῴων ἐμφορούμενοι,ἀγγεῖα δὲ ἐφθαρμένα ἐστὲ ὑμεῖς. λύκοι γὰρ εἰ ἠδύναντο καρποὺς ἐσθίειν,οὐκ ἂν ἐζήτουν κρέα· ταῦροι,ἵπποι, ἔλαφοι καὶ ἑτέρα φύσις ζῴων δικαιοτέραν ὑμῶν ἔχουσιν τὴν τροφὴν θινῶν βοτάνας τρεφόμενα καὶ ὕδωρ πίνοντες καὶ τοῖς ὄρεσιν ἐνδιαιτώμεναι· διὰ τοῦτο τούτοις φίλη ἡ ἰσχὺς καὶ τὰ νεῦρα καρτερὰ πεπήγασιν. τί οὖν οὐ μιμεῖσθε ταῦτα τὰ τρεφόμενα θεοῦ προνοίᾳ;

§46 ἀλλὰ προφάσει προσφορᾶς θυσιῶν καὶ πυρὸς δαπάνης ἑαυτοῖς αὐτὰ ἑτοιμάζετε τροφήν· ὅσα δέ ἐστιν εὔτονα καὶ διαρκῆ, ἐπιβουλευθῆναι παρ' ὑμῖν οὐ δύναται· ὑμεῖς γὰρ ζητεῖτε διατροφὴν πλείστην καὶ πολλὰ δαπανᾶτε διὰ τὴν ἀπληστίαν ὑμῶν καὶ εἰς μικρὰ ζῷα πλεῖστα κοπιᾶτε δι' ὀλίγην ἡδονὴν καὶ ματαίαν· ἀνόνητος ὁ κόπος ὑμῶν καὶ ἐν ἀπωλείᾳ· διὰ ταῦτα πάντα ταλαίπωρος καὶ ἀτυχὴς ὁ βίος ὑμῶν.

§47 ἡμεῖς μὲν οὖν οὐδὲ ὕδωρ πίνομεν ἄκοντες,δίψης μὴ παρούσης· ἐξ ἀνάγκης δὲ παρούσης δίψης ταύτην ἀμυνόμεθα ταῖς ἐκ φύσεως παραγενομέναις πηγαῖς ὑδάτων,αἵτινες καὶ μὴ πινόντων ἡμῶν χέουσι τὰ ῥεῖθρα. ὑμεῖς δι' ἡδονὴν γαστρὸς τέχνας ἐπινοεῖτε,ἵνα καὶ μὴ πεινῶντες διὰ τῆς ποικίλης τῶν μαγεί

(1) εἰρήνην δὲ διώκει om. C/σωφροσύνην διώκει καὶ μᾶλλον δαμάζει D (2) ἐμετοὺς ἐκβλύζει om.C/ διὰ (om. D) τὸ σαρκοβόρον CD (3) ἀναχωρεῖ D/ πνεῦμα – 4 ἐμφιλοχωρεῖ om. C (4) Φινῶν om. C (5) ἔσωθεν D/ ἀφεθεῖσαι κάλλιστον ὀσμὴν ἀπόζουσι καὶ τὰ παρὰ C (6) ἐπιτρέπει CPall, λεπτύνει D non male / ταύτην οὖν ἐφύτευσεν ὁ θεὸς τοῖς βροτοῖς τροφὴν D (7) φρονήσει R, διὰ φρόνησιν C, om. D (8) καὶ ἀναπνέετε DPall/ post σαρκῶν perg.C ἀγγεῖα δὲ ἐφθαρμένα ἐστὲ μελῶν σεσηπότων· λύκων καὶ λεόντων καὶ παντοίων θηρίων ἀνημέρων χείρονές ἐστε ὑμεῖς· λύκοι γὰρ et D καὶ ἀγγεῖα διεφθαρμένα ὄντες μελῶν σεσηπότων· λύκων δὲ καὶ λεόντων καὶ πάντων τῶν ἀνημέρων θηρίων χείρονές ἐστε ὑμεῖς (9) ἠδύναντο CD, δύναντο R (10) ἐξεζήτουν D/ post κρέα add. C ὁμοίως καὶ οἱ λέοντες τοῦτο ἐποίουν (11) καὶ ἔλαφοι C/ φύσις ζῴων τοιαύτη D/ ὑμῶν RDPall, παρ' ὑμῖν C (12) Φινῶν om. C/ βοτάναι τρεφόμενοι C (13) ἐνδιαιτώμενοι C, -μενα DPall. (14) κρατερῶς D (16) malim δαπάνῃ/ καὶ πυρὸς δαπάνης om.C (17) αὐτὰ RDPall, ταῦτα C/ εἰς τροφὴν D/ δέ εἰσιν D (18) παρ' ὑμῖν (ὑμῶν D) CD, γὰρ ἡμῖν R/ δύνανται D/ οὐ δύναται μόνον διὰ τὴν ἐργασίαν· ἐπιζητεῖτε δὲ πλείστην τροφὴν C/ τροφὴν D
(20) πλεῖστα RPall, πλεῖστον D, οὐ πλεῖστον C
(21) τοιγαροῦν καὶ ἐν ἀπωλείᾳ καὶ ταλαίπωρος πάντῃ καὶ ἀτυχὴς ὁ βίος ὑμῶν D (23) ὑμεῖς μὲν γὰρ D/ οὐδὲ – μὴ παρούσης om.C/ μή om.R (24) δέ om.C
(25) αἵτινες D, om.R/ καὶ μὴ – 26 ῥεῖθρα om.C
(26) τὰ ῥεῖθρα χέουσιν D/ ὑμεῖς δι'D, ὑμεῖς δὲ R, ὑμεῖς δὲ δι'CPall. (27) μή om.C/ διὰ τῆς – p.288,1 τέχνης om.C

ρων τέχνης διαρρήγνυτε τὴν ἀθλίαν γαστέρα, τὰ πρὸς γαστριμαργίαν ταύτην χορηγοῦντες· ἀέρα θηρεύετε διὰ φιληδονίαν, θάλασσαν δικτύοις σήθετε διὰ τὰς πολλὰς ὑμῶν ἐπιθυμίας, ἐπὶ τὰ ὄρη στρατεύεσθε διὰ τὴν ἀπληστίαν ὑμῶν, τὴν ἐπὶ κυνῶν ἀλκὴν ὀξυτάτην ἀλαζονευόμενοι· κακολογούμενοι θηρία τὰ παρὰ τῆς προνοίας δημιουργηθέντα, καὶ αὐτὰ κακῆς ἐρημίας ἐνοικοῦντα λέγετε δυσαρεστούμενοι κατὰ τῆς προνοίας· καὶ τὰ μὲν διώκετε, τὰ δὲ θηρεύειν βούλεσθε, τὰ δὲ πλεῖστα φονεύετε· τὰ δὲ τούτων ἀνημερώτερα συλλαβόντες καὶ γαλεάγραις συγκλείσαντες φέρετε εἰς τὰς πόλεις, οὐχ ἵνα σπείρητε δι' αὐτῶν ἢ ἑτέραν τινὰ ἐν τούτοις χρήσιμον ἐκτελέσητε ὑπηρεσίαν, ἀλλ' ἵνα τὸ συγγενὲς ὑμῶν καὶ θεοῦ ἔργον ἄνθρωπον καθυβρίσαντες ἀφανίσητε καὶ τοῦτον δεδεμένον δεσμοῖς βιαίοις λελυμένῳ θηρίῳ παραβάλητε καὶ ἀντικαθεζόμενοι ἐνατενίζητε τερπόμενοι τῇ ἀνεικάστῳ συμφορᾷ, τὸν τοῖς θηρίοις καταπαλαισόμενον καὶ γελῶντες· σπουδάζετε καταλῦσαι κακίστῳ μόρῳ τὴν κοινὴν τῆς φύσεως ἡμῶν εἰκόνα τὴν χειρὶ θεοῦ πλασθεῖσαν. καὶ μετὰ τοῦτον ὑπ' αὐτοῦ διαφθαρῆναι, αὐτὸν πάλιν τὸν θῆρα σφαγιάσαντες ὑμεῖς πῶς τοῦτον ἀποτρέπεσθε, καὶ κακολογοῦντες λέγετε· "ὦ κακὸν θηρίον καὶ φονεὺς ἀνθρώπων·" καὶ τὸ πάντων δὲ δεινότερον, αἱμάτων καὶ σαρκῶν ἀνθρώπων τοῦ θηρὸς ἐμφορηθέντος, τοῦτον κατασφάξαντες πάλιν ὑμεῖς ἐσθίετε καὶ εὑρίσκεσθε τῶν πονηρῶν θηρίων ἀνημερώτεροι, αὐτοὺς τούτους ἐσθίοντες καὶ ἀκαταλλάκτους συμφορὰς ἑαυτοῖς ἐν τῇ γαστρὶ ὑμῶν σωρεύοντες.

§48 χώρας πάλιν τοὺς πενεστέρους ἀποστερήσαντες ὑμεῖς οἰκοδομεῖτε οἰκίας, ἵνα θερμαινόμενοι βιαίως εὐπετῆτε. καὶ ἀναγ-

(1) γαστριμαργία R (2) ταύτην R, ταύτη CD/ τὰ πρὸς - χορηγοῦντες Palladii cod.QZ om., glossa olim fuisse videtur. (3) ἐν θαλάσσῃ δίκτυα τίθετε C (4) τὴν ἐπὶ κυνῶ (τῶν κυνῶν C) ἀλκὴν ὀξυτάτην (ὀξυτάτην ἀλκὴν C) RC, καὶ τῇ ὀξυτάτῃ ἀλκῇ τῶν κυνῶν D (5) κακοποεῖτε τὰ θηρία C, κακολογεῖτε τὰ παρὰ τῆς προνοίας δημιουργηθέντα θηρία καὶ τὴν ἐρημίαν οἰκοῦντα· καὶ τούτων τὰ μὲν διώκετε D (6) καὶ αὐτὰ - 7 τῆς προνοίας om. C (9) ἔνια δὲ τούτων τὰ ἀνημερώτερα D/ ἐγκλείσαντες C (12) ἀλλ' ἵνα μεθ'αὐτῶν ἕτερα θηρία διώκοντες ἀφανίσητε καὶ ἵνα τὸ συγγενὲς ἡμῶν C/ τὸν ἄνθρωπον C, λέγω τὸν ἄνθρωπον D (13) λελυμένῳ om. D (14) ἐναντικαθεζόμενοι C/ ἀτενίζητε D (15) τοῦ τοῖς θηρίοις ἐκδεδομένου καὶ σπουδάζοντες καταλῦσαι D (17) ἡμῶν om. CPall (18) καὶ μετὰ τὸ ὑπ' αὐτοῦ διαφθαρῆναι αὐτὸν πάλιν τὸν θῆρα κακολογεῖτε λέγοντες· ὦ C, διὰ τί δὲ μετὰ τὸ τόν ἄνθρωπον ὑπ' αὐτοῦ διαφθαρῆναι τοῦ θηρός,τὸν αὐτὸν θῆρα πάλιν σφραγίσαντες ὑμεῖς ἀποτρέπεσθε καὶ κακολογοῦντες λέγετε· κακὸν θηρίον,φονεὺς ἀνθρώπων D (19) σφαγιάσαν (sic)R (20) πάντων τούτων C (21) δεινότερον ὅτι τοῦ θηρὸς αἱμάτων καὶ σαρκῶν ἐμφορηθέντος D (22) πάλιν om. D (23) αὐτοὺς τούτους ἐσθίοντες RD, καὶ ταῦτα ποιοῦντες C (24) διὰ τῆς γαστρὸς D (25) σωρεύετε C (26) τοὺς ἐπενεστέρους R, τῶν πενεστέρων D, τῶν πενήτων C/ ἀφαρπάζοντες D/ οἰκονομεῖτε C (27) βιαίως RD, ἡσυχαίως Merkelbach / ἵνα θερμαινόμενοι ἀναγκάζητε ὑμῶν τὰ ἔντερα πλατεῖα γίνεσθαι· ἡμεῖς δὲ εὐχόμεθα C/ εὐπετῆτε RD, rectius εὐπεκτῆτε Pall/ δίο καὶ D

κάζετε ὑμῶν τὰ ἔντερα πλατεῖα εἶναι τεχνῶν συνθέται ἐξ ἀμέτρου ἀκρασίας,ζωοφαγίας τε καὶ οἰνοφλυγίας. ἡμεῖς δὲ εὐχόμεθα μηδὲ ὕδατι διψῆσαι·περισπώμεθα γὰρ ἀληθείας,ὅταν σῶμα περισσῶς ποτίσωμεν ὕδατι. ὑμεῖς δὲ χαίροντες ἐπὶ τὰς οἰνοποσίας συνέρχεσθε,καὶ ἂν μὴ ἐκμανῆτε πίνοντες οὐ παύεσθε· καὶ μετὰ ταῦτα χεῖρας ἐπὶ σπονδὰς ἐκτείνετε καὶ τοὺς ὀφθαλμοὺς ὑμῶν εἰς τὸν ἥλιον ἐπαίρετε παντελῶς ἐκδιώξαντες ὑμῶν τὴν φρόνησιν,βαρυνόμενοι τὸν νοῦν ἀπὸ τοῦ οἴνου.

εὐτυχέστεροι παρ' ὑμῶν εἰσιν μᾶλλον οἱ μαινόμενοι· ἐκεῖνοι γὰρ μεθύουσιν οἶνον μὴ ἀγοράσαντες· ὑμεῖς δὲ μεριμνᾶτε τὴν τιμὴν τοῦ οἴνου,ἵνα τοῦτον ἀγοράσαντες τῇ μέθῃ τὴν φρόνησιν ἐκδιώκητε ἑαυτοῖς ἐπεισάγοντες ἔκφρονα μανίαν,κατ' ἀλλήλων χεῖρας κατακλῶντες καὶ τραύματα ἑκάστῳ πλησίων ἐμφοροῦντες· καὶ ταῦτα ποιεῖτε ἀναισθήτως· εἶθ'οὕτως τοῦ οἴνου διαπνευσθέντος μανθάνετε τὰ παρ'αὐτῶν δρασθέντα ἐκ τῶν ἀλγηδόνων.

§49 καὶ οὐδ'οὕτως ἰσχύετε αὐτὰ πέψαι,ἀλλ' ὀψὲ ἀναχωρήσαντες τὴν ἀκρασίαν ὑμῶν διὰ στόματος ἐμεῖτε κάτωθεν ἄνω στρέφοντες τὴν φύσιν· πίνοντες ἀμετρήτως πληροῦσθε ὡς ἀγγεῖα καὶ ὀζέσαντος τοῦ οἴνου τελευταῖον τοῦτον ἀναβλύζετε. ἄφρονες ἀνεστρέψατε τὸ σῶμα ἀντὶ τῶν ποδῶν ἐπὶ κεφαλὴν περιπατοῦντες ὡς τὰ ζῷα· βιάζεσθε πληροῦσθαι καὶ μετὰ ὕβρεως κενοῦσθε, νόσον προσλαμβάνοντες· συντρίβετε τὸ σῶμα καὶ ἐν οἷς δοκεῖτε τὴν γαστέρα θεραπεύειν,ἐκεῖθεν ἀνιᾶσθε καὶ ἀεὶ κεκορεσμένοι πάσης ἡδονῆς ἐστερημένοι· τέλος γὰρ ἀμέτρου κόρου βάσανος σώματος καὶ οὐχ ὑγεία. κολάζεσθε γὰρ νόσοις διὰ τὴν ἀμετρίαν. τί δέ ἐστιν ἡ τοῦ σώματος τρυφὴ πρὸς ψυχῆς εὐδαιμονίαν; εἰ

(1) πλάτυτα εἶναι καὶ συνθέτα ἐκ τῆς ἀμέτρου ἀκρασίας καὶ ζωοφαγίας καὶ οἰνοφλυγίας D (2) ζωοφαγίας D, ὀζωφαγίας R (3) μηδέ D, μή R/ ἀλλὰ περισκώμεθα ἀληθείας C, καὶ τῆς ἀληθείας ἐκπίπτομεν D (4) μὴ περισσῶς C/ ὕδατι melius abesset / ὑμεῖς χαίρετε ἐπὶ τῇ οἰνοποσίᾳ καὶ συνέρχεσθε ἅμα καὶ ἐὰν D (5) καὶ ἐάν C (6) μετὰ ταῦτα δέ D (8) καὶ τὸν νοῦν ἀπὸ τοῦ οἴνου βαρυνόμενοι D (9) παρ' ὑμῖν CD/ παρ' ὑμῖν ὄντως εἰσὶν οἱ μαινόμενοι D (11) ἵνα RC, ὡς ἄν D (12) ἐκδιώξητε D/ καὶ κατ'(om. C) ἀλλήλων DC (13) χεῖρας κινοῦντες D/ καὶ om. C/ τραύματα τῷ πλησίον ἐπάγοντες· ταῦτα δὲ πάντα ποιεῖτε D/ ἐμφέρετε καὶ καθ' ἀλλήλων γλώσσῃ καὶ πράξει εἰς ἄτοπα ἐμπίπτοντες καὶ ταῦτα C
(14) εἶθ'οὕτως om. D/ οἴνου δὲ D (15) μανθάνετε τὰ παρ' ὑμῶν CD, μανθάνουσιν τὰ παρ'αὐτῶν R/ δρασθέντα RC, ἐνεργηθέντα D/ ἐκ τῶν ἀλγηδόνων om. D
(17) ἰσχύετε αὐτὰ πέμψαι R, ἰσχύετε πέψαι τὰ βρώματα D, δύνασθε αὐτὰ ἐκπέμψαι C (18) ἄνω στρέφοντες RCPall., ἀνατρέποντες D (19) πίνοντες γὰρ D/ ἀμέτρως CPall. καὶ om. D (20) ὀζέσαν τὴν τοῦ οἴνου R, ὀζέσαντος δὲ τοῦ οἴνου D, ζέσαντος τοῦ οἴνου C/ τελευταῖον om. C/ ἄφρονες ὄντες καὶ τὸ σῶμα ὑμῶν ἀναστρέφοντες καὶ ἀντὶ ποδῶν D, ἀφρόνως ἀναστρέφοντες τὸ σῶμα καὶ ἀντὶ C
(22) βιαζόμενοι D/ ἐμπλησθῆναι C/ κενοῦσθε τὸν οἶνον καὶ C
(23) τὸ σῶμα καὶ ὅσα τούτοις πάθη αἰσχύνομαι τοῦ λέγειν καὶ ἐν οἷς C (24) καὶ ἀεὶ κεκορεσμένοι RC, ἀεὶ κεκορεσμένοι καὶ D (25) στερεῖσθε C (26) κολάζες γὰρ R, κολάζεσθε δέ C, διὸ καὶ κολάζεσθε D
(27) τί οὖν D/ σύστασις πρὸς ψυχῆς C

δ' ἐπιδείκνυσθαι βούλεσθε, ὅτι ἔχετε πολλά, τοῖς παρ' ὑμῖν ἐνδεομένοις χαρίζεσθε τὰ περισσά· ὡς δ' ἀκούομεν, πτωχοί ἐστε τῷ ὄντι, ὥστε μήτε ἄρτον τοῖς αἰτοῦσιν ὑμᾶς διδόναι, ἀναριθμήτους δὲ οὐσίας παρ' ἑαυτοῖς σπουδάζετε σωρεύειν· δοῦλοι γάρ ἐστε σωμάτων καὶ ἐντέρων ἀκορέστων.

§50 διὰ ταῦτα γὰρ τὰ πάθη πολλοὶ ἰατροὶ ἐν ὑμῖν οἱ κενοῦντες ὑμῶν τὴν ἀπληστίαν, ἢ λιμῷ κατάγχοντες τὴν πολυφαγίαν, ἢ ἄλλαις τισὶν τέχναις τὴν νόσον χαλινοῦντες, καὶ τοῖς τὸ πρὶν πολὺν ἐκχεομένοις οἶνον ὡς ἀγγεῖον τετρημένον δαμάζοντες τῇ δίψῃ, μηδὲ ῥανίδος ὕδατος τούτους καταξιοῦντες· καὶ οἱ ποτὲ καρηβαροῦντες, νῦν βασανιζόμενοι ξηροὶ διατελοῦσιν· καὶ οἳ ποτὲ μὲν παρὰ φύσιν ἔπινον τὸν οἶνον, νῦν δὲ κατὰ φύσιν ὕδωρ ἐπιθυμοῦσιν· καὶ τότε μὲν πεπεδημένοι ἐπιθυμίᾳ ἀκορέστῳ, νῦν δὲ στρεβλούμενοι τῇ ἐγκρατείᾳ τῆς ἀνάγκης.

§51 Βραγμᾶνες δὲ οἶνον οὐκ ἐπιζητοῦμεν, οὐκ αὐθαίρετον κτώμεθα μανίαν· ὕδωρ, ὅσον θέλομεν, ἔχομεν ἐκ θείας προνοίας· καὶ {τοῦτο} δι' αὐτοῦ σωφρονοῦντες θεραπεύομεν δίψαν οὐ κτώμενοι μανίαν. μᾶλλον γὰρ ἑλώμεθα θάνατον ἢ κατακυριευθῆναι μέθῃ· θηρὶ παραδοθῆναι πολλῷ μᾶλλόν ἐστιν βέλτιον ἢ δόξης θεοῦ ἀπορριφῆναι διὰ πολυποσίαν. ὁ γὰρ μεθύων ζῶν χείρων ἐστὶν ἀλόγου, τεθνηκὼς φρονήσει· τὸν νοῦν γὰρ ἀπολέσας τοῦ θεοῦ ἠλλοτριώθη.

§52 τί δὲ οἱ ἐν ὑμῖν ἔνδοξοι; τῷ πλούτῳ ἀπατῶνται ψευδῆ ἐνορῶντες, τὰ ἐνταῦθα μόνα ἔχειν προσδοκῶντες ἀλλήλους ἀδικοῦσιν, τοὺς δ' ἀσθενεστέρους καὶ φονεύοντες ἀποστεροῦσιν καὶ ἃ κέκτηνται ὀλίγα· τὸ δὲ πέρας τούτων ἀναμένει θάνατος.

§53 τί δὲ εἴπωμεν περὶ 'Επικουρείων ἀνδρῶν μυροβρόχων,

(1) ἐπιδεικνύειν D/ παρ' ἡμῖν R/ τοῖς δεομένοις D, τί τοῖς παρ' ὑμῖν δεομένοις οὐ χαρίζεσθε C (3) μήτε om.C/ τῷ ὄντι μὴ μεταδιδόντες ἄρτον D/ διδόναι om. D, μὴ διδόναι C (5) διὸ καὶ δοῦλοί ἐστε D (6) καὶ διὰ ταῦτα τὰ πάθη D, καὶ διὰ τὰ συμβεβηκότα ὑμῖν πάθη C (7) καὶ λιμῷ D (8) ἢ καὶ ἄλλαις C/ τοὺς --- ἐκχεομένους (ἐκχέοντας D) CD (9) ἀγγεῖα τετρημμένα D (11) καρηβαριῶντες D, καρηβαροῦντες ἐξ οἴνου C/ ξηροί RDPall. ἄποτοι C (12) μέν et δέ om. D/ τὸν οἶνον πίνοντες D (13) ὕδατος D/ τὸ ὕδωρ ὀλίγον C/ καὶ τότε μὲν RDPall, καὶ οἳ ποτὲ μὲν C (15) ἡμεῖς δὲ οἱ Βραγμᾶνες D (17) τοῦτο om. CD/ μανίαν οὐ κτώμενοι D (18) μᾶλλον γὰρ om.C/ αἱρούμεθα DPall. (19) θηρίᾳ C (2o) ἀπορριφῆναι RDPall, ἀποστερηθῆναι C/ ζῶν om. D (21) ἀλόγου RC, ἀλόγων ζῴων D/ τῇ φρονήσει C/ ὁ γὰρ μεθύων ζῇ τεθνηκώς, φρόνησιν γὰρ ἀπώλεσεν Pall. (23) ἐν ἡμῖν R (24) ὁρῶντες καὶ τὰ C/ ἐνταῦθα δὲ D/ ἀλλήλοις D (25) φονεύουσιν ἀφαρπάζοντες D (27) εἴποιμι D/ τῶν Ἐπικουρείων D, om. C

καὶ μαλακῇ ἐσθῆτι γυναικῶν περιπατούντων, καὶ βεβιασμένων ἀρωμάτων χυμοῖς τὸν ἀέρα μιαινόντων; τί δὲ δεῖ καὶ λέγειν περὶ Στοϊκῶν λογίων φιλοσόφων τῶν φιλαργυρησάντων; τί δὲ πάλιν ἐροῦμεν περὶ τῶν λοιπῶν φιλοσόφων; πάντες οὗτοι θαυμάσιοι καὶ μεγάλοι παρ' ὑμῖν, ἀλλ' οὐ παρὰ Βραγμᾶσιν.

§54 ἀκούομεν δὲ καὶ καινὴν ἀνθρώπων φύσιν ἐξευρῆσθαι παρ' ὑμῖν, ὅτι ἐκτέμνετε τοὺς ἄρρενας, θηλείας ἑαυτοὺς βιαζόμενοι ποιῆσαι· καὶ γίνεται ὁ παρ' ὑμῖν ἄνθρωπος γεννηθεὶς οὔτε σπείρων {παρ' ὑμῖν} ὡς ἀνὴρ οὔτε τίκτων ὡς γυνή, ζῶν δὲ μόνον εἰς ἰδίαν ὕβριν. τίς οὖν ὑμᾶς οὐκ ἐλεήσει βλέπων ἐν ὑμῖν τὸν ἀφανισμόν;

§55 οἰκτείροντες δὲ ὑμᾶς ἡμεῖς ὠφελοῦμεν οὐδὲν τῷ μὴ συντρέχε τὴν γνώμην ὑμῶν προθέσει τῶν Βραγμάνων. ἡμεῖς τοίνυν μισοῦμεν ὑπερηφανίαν καὶ φιλοῦμεν πᾶσαν ἀνθρωπίνην φύσιν, προκαθήμενοι τῆς ἀληθείας διδάσκαλοι καὶ ἔνδεικται ὁδοῦ δικαιοσύνης τοῖς εὐεργετεῖσθαι βουλομένοις· ἐν τῷ βίῳ τούτῳ ὡς ἐν μεγίστῳ οἴκῳ γυμνῇ τῇ ψυχῇ πρὸς πάντας διαζῶντες ὥσπερ καὶ τῷ σώματι· τουτέστιν ὁλόκληρον τῇ ψυχῇ πρὸς πάντα ἄνθρωπον πλουτοῦμεν.

§56 ἀκούομεν δὲ ὅτι Μακεδονία βιάζεται τὰ πάντα πρότερον αὐτὴ βιασθεῖσα· τῆς γὰρ τρεφομένης ψυχῆς εἰσιν πάντες δοῦλοι· ἀλλὰ τούτων πάντων ἄποροί εἰσιν Βραγμᾶνες περὶ αὐτῶν, ὑπ' οὐδενὸς δυνάμενοί ποτε πολεμηθῆναι· οὐδενὸς γὰρ τῶν ἐν ὑμῖν ἡμεῖς ἐπιθυμοῦμεν.

§57 σὺ δέ, βασιλεῦ 'Αλέξανδρε, τὰ ἡμέτερα φρονεῖν παραγενόμενος εἰς 'Ινδοὺς καὶ Βραγμᾶνας ἰδὼν ἐπ' ἐρημίας οἴκησον γυμνός· ἄλλως γάρ σε οὐ δυνάμεθα ἡμεῖς δέξασθαι, ἐὰν μὴ

(1) καὶ γυναικῶν τῶν μαλακῇ ἐσθῆτι περικατουσῶν D, καὶ περὶ μαλακῇ ἐσθῆτι γυναικῶν περικατουσῶν μετὰ χυμῶν ἀρωμάτων τὸν ἀέρα μιαινουσῶν C (2) μιαινουσῶν D (3) τῶν Στοϊκῶν D/ λογίων om. CDP / τί – 4 φιλοσόφων om. D (6) ἐξευρηκέναι ὑμᾶς D/ παρ' ἡμῖν R (7) ὅτι ἐκτέμνετε RCPall, ἐκτέμνετε γὰρ D/ καὶ θηλείας DPall. possis θήλεια(= ἔργα γυναικῶν)/ αὐτοὺς CD/ ποιῆσαι βιάζεσθε D (8) κἀντεῦθεν γίνεται D/ γεννηθεὶς ἄνθρωπος D (9) παρ' ὑμῖν om. CDPall/ οὔτε τίκτων ὡς γυνὴ οὔτε σπείρων ὡς ἀνὴρ C (11) τοιοῦτον ἀφανισμόν D, τὸν ἀφανισμὸν τοῦτον C (12) πλὴν οἰκτείροντες ὑμᾶς D/ οὐδέν om. Pall./ ὑμᾶς δὲ οἰκτείραντες ἡμεῖς ὠφελοῦμεν καὶ οὐδὲν τῷ μὴ συντρέχειν τῶν Βραγμάνων τὴν γνώμην ὑμῶν προθέσει C (13) ἡμῶν R (14) προκαθήμεθα CD (15) ὁδοῦ RDPall., ἥμεθα(sic)C (17) γυμνῇ DPall, γυμνοὶ RC/ ζῶμεν D (18) τὸ σῶμα RC, τῷ σώματι D/ καὶ ὁλόκληρα ταῦτα πλουτοῦμεν D (20) ἡ Μακεδονία C/ ἰάζεται R (21) βιασθεῖσα παρ' ἄλλων D/ προτρεπομένης Pall/ τῆς γὰρ – δοῦλοι om. CD (22) περὶ αὐτῶν R, ἐν ἑαυτοῖς C, om.DPall. (23) οὐδενὸς τούτων D/ δυνάμενοι – οὐδενός om. C (24) ἡμῖν R (25) σὺ δέ CDPall., οὐ δή R/ εἰ τὰ ἡμέτερα φρονεῖν παραγέγονας D/ εἰ βούλει τὰ ἡμέτερα Pall./ φρονεῖν θέλε C (26) καὶ Βραγμᾶνας RD, τοὺς Βραγμᾶνας C/ ἰδών om.Pall./ ἐπ' ἐρημίας – 27 γυμνός om. C (27) γάρ om. C/ δέξασθαι D, om. R/ ἡμεῖς ὠφελῆσαί σε, ἐὰν C/ εἰ μὴ πρότερον D

πρῶτον τὰς ἀρχὰς ἀπορρίφης ἀπὸ σεαυτοῦ, ἐφ' οἷς νῦν γέγηθας καὶ μέγα φρονεῖς· ἅψονται δέ σου προνοίας λόγοι, οὕσπερ πρότερον εἰρήκειν σοι· καὶ ἀγαπήσεις ἐκ καρδίας σου πάντα, ὅσα τότε ἐπήνεσας θαυμάσας· καὶ εἰ ἐμοὶ πεισθῇς καὶ ποιήσῃς ταῦτα, οὐδεὶς ὅλως οὐκέτι πολεμήσει σε οὐδ' ἀφελέσθαι σου τίς τι δυνήσεταί ποτε λοιπόν, ὧν οὐ κέκτησαι· ἐὰν γὰρ ἐμοὶ πεισθῇς κατὰ κράτος καὶ ἀσφαλῶς, οὐδεὶς οὐδὲν τοῦ ὑμετέρου βίου εὑρήσει παρά σοι· ὕλαι γάρ σε θρέψουσιν, λοιπὸν τῆς προνοίας σοι πάντα χορηγουρήσης ὥσπερ καὶ ἡμῖν, καὶ ἐν πᾶσιν πλουτήσεις μιμησάμενος Βραγμᾶνας ἀκριβῶς· καὶ ἐμοὶ τοῦτο καταγραφήσεται εἰς αἰώνιον χαράν, ἡ ὠφέλεια ἡ σή· τοῦτο γὰρ καὶ παρ' ἐμοῦ ᾔτησας ἐξ ἀρχῆς· οὐ φθονοῦμεν οὖν ἡμεῖς οὐδένα τῶν βουλομένων ἀληθῶς εὐσεβεῖν εἰς τὸν θεὸν καὶ βίον ἡμέτερον ἐθέλοντας ζηλοῦν, οἰκτείροντες πᾶσαν ἀνθρώπου φύσιν θνητῶν."

ὁ δὲ 'Αλέξανδρος ἀκούσας ταῦτα πάντα καὶ ἰδών, θαυμάσας σφόδρα καὶ κατανυγεὶς ἐπὶ τοῖς σοφοῖς καὶ ἀληθινοῖς λόγοις τοῦ Δανδάμεως, ἀπῆλθεν ἀποφέρων πάντα, ὅσα ἐνηνόχει δῶρα πλὴν τοῦ ἐλαίου, οὗ ἀνήλωσε τὸ πῦρ.

(1) ἀπό om. C/ ἐφ' ἅς CD/ γέγηθας νῦν C (2) σου RD, σοί ποτε C/ οὕς D (4) θαυμάσας ἐπῄνεσας D/ καὶ εἰ RC, εἰ οὖν D / καὶ post πεισθῇς om. D/ ταῦτα (add. D) ποιήσεις RCD (5) ταῦτα om. C/ οὐκέτι RC, ἔτι D/ σοι C/ οὐδ' ἀφελέσθαι RDPall., καὶ ἀφελέσθω C (6) λοιπόν - 8 παρά σοι om. D, λοιπόν - καὶ ἡμῖν 9 om. C (8) ἡμετέρου R/ εὑρήσει dedi, εὑρήσοι R (9) καὶ ἡ πρόνοια -- χορηγήσει D (1o) καὶ ἡ σὴ ὠφέλεια εἰς αἰώνιον χαρὰν ἡμετέραν καταγραφήσεται D (12) καὶ σὺ D/ πρὶν ᾔτησας D/ ἐξ ἀρχῆς om.D/ post ὠφέλεια ἡ σή perg.C οὐκ ἀποστρεφόμεθα οὖν ἡμεῖς οὐδένα τῶν βουλομένων (13) τόν om. D (14) ἐθέλοντας R, ἐθελόντων D, ἔχειν ἐθέλοντα omisso ζηλοῦν C/ ἀλλ'οἰκτείρομεν D/ πᾶσαν φύσιν τῶν θνητῶν ἀνθρώπων C (15) ἀνθρώπων D (16) 16 - 19 in Palladio loco priore (§4o) traduntur. / τότε 'Αλέξανδρος D/ καὶ ἰδών om. D/ καὶ θαυμάσας C (17) σοφοῖς καὶ om. D (18) καὶ τοῦτον ἀσπασάμενος ἀπῆλθε φέρων C (19) ἐλαίου τοῦ διὰ πυρὸς ἀναλωθέντος D

36

καὶ τὴν ναῦν ἐπιβὰς καταλαμβάνει τὸ αὐτοῦ στρατόπεδον, πάνυ περὶ αὐτοῦ ἀσχολούμενοι καὶ τῆς ἰδίας ἀπολεγόμενοι σωτηρίας· ὡς οὖν εἶδον αὐτὸν ἐρχόμενον, οὐ μετρίως ἐπληρώθησαν χαρᾶς. καταλαβὼν δὲ Ἀλέξανδρος τῆς ἰδίας φάλαγγος πάντας γνησίως κατησπάζετο καὶ καθεσθεὶς πάντα αὐτοῖς διηγήσατο.

ἀπάρας δὲ τῶν ἐκεῖ ᾤχετο τῆς ὁδοῦ καὶ δι' ἡμερῶν πέντε ἤλθοσαν εἴς τινα ποταμόν· ἐκέλευσεν οὖν παρεμβολὴν γενέσθαι καὶ καθοπλισθῆναι τῇ συνηθείᾳ τὰ στρατόπεδα. ἦν δὲ ἐν τῷ ποταμῷ δένδρα, καὶ ἅμα τοῦ ἡλίου ἀνατέλλοντος καὶ τὰ δένδρα ηὔξανον μέχρι ὥρας ἕκτης, ἀπὸ δὲ ὥρας ἑβδόμης ἐξέλειπον, ὥστε μηδ' ὅλως φαίνεσθαι· πνοὴν δὲ εἶχον πάνυ ἡδυτάτην καὶ χρηστήν. ἐκέλευσεν οὖν ὁ Ἀλέξανδρος κόπτεσθαι τὰ δένδρα καὶ σπόγγοις ἐκλέγεσθαι τὰ τούτων δάκρυα. αἰφνίδιον δὲ οἱ ἐκλέγοντες ἐμαστιγοῦντο ὑπὸ δαίμονος ἀοράτου· καὶ τῶν μὲν μαστιγουμένων ὁ ψόφος ἠκούετο καὶ τὰς πληγὰς ἐπὶ τῶν νώτων ἐρχομένας ἔβλεπον, τοὺς δὲ τύπτοντας οὐκέτι τὶς ἑωράκει. φωνὴ δέ τις ἤρχετο λέγουσα· "μὴ ἐκκόπτειν μηδὲ συλλέγειν· εἰ δὲ οὐ παύσητε, γενήσεται ἄφωνον τὸ στρατόπεδον." ὁ δὲ Ἀλέξανδρος φοβηθεὶς ἐκέλευσεν μήτε συλλέγειν μήτε ἐκκόπτειν τινὰ ἐξ αὐτῶν.

ἦσαν δὲ ἐν τῷ ποταμῷ λίθοι μέλανες· ὅσοι οὖν ἥπτοντο τῶν λίθων τούτων, τὴν ἴσην χροιὰν ἐλάμβανον τοῖς λίθοις. ἦσαν δὲ καὶ δράκοντες πολλοὶ ἐν τῷ ποταμῷ καὶ ἰχθύων πολλὰ γένη, ἅτινα πυρὶ οὐκ ἑψοῦντο, ἀλλ' ἐν ὕδατι ψυχρῷ πηγαίῳ. εἷς οὖν τῶν στρατιωτῶν λαβὼν καὶ πλύνας καὶ βάλλων εἰς ἄγγος ἀφῆκε καὶ μετ' ὀλίγον εὗρεν τὸν ἴχθυν ἑψημένον. ἦσαν δὲ ἐν τῷ

(1) redit ad recensionem ε rec. γ / ναῦ R/ ἐπιβὰς μετὰ τῶν σὺν αὐτῷ C/ τὸ τούτου στρατόπεδον D/ οἱ δὲ πάνυ C (2) ἀσχολούμενοι C, ἀσχολούμενος R, ἀσχάλλοντας καὶ ὀδυνωμένους D/ καὶ – σωτηρίας om. D (4) τὴν ἰδίαν φάλαγγα C/ οὗτος δὲ τὰς ἰδίας καταλαβὼν φάλαγγας γνησίως πάντας κατησπάζετο·καὶ δὴ καθεσθεὶς πάντα,ὅσα εἶδε καὶ ἤκουσε παρὰ τῶν Βραγμάνων καὶ παρ' αὐτοῦ δὲ τοῦ Δανδάμεως αὐτοῖς διηγήσατο κατὰ ἀκρίβειαν· οἱ δὲ θαυμάσαντες τὴν τούτων ἀσύγκριτον ἀρετὴν καὶ τὴν ἀγγελικὴν διαγωγὴν ἐπῄνεσαν καὶ ηὐχαρίστησαν αὐτοὺς μεγάλως. ἐπάρας οὖν κτλ. D (5) διηγήσατο αὐτοῖς,ὅσα ἤκουσε παρὰ τοῦ Δανδάμεως C (6) ἐκεῖσε CD/ ᾤχετο RC, εἴχετο DQ (7) a voce ἤλθοσαν recensionem β sequitur γ / κἀκεῖ ἐκέλευσεν 'Αλέξανδρος C, ἔνθα παρεμβολὴν γενέσθαι ἐκέλευσεν ὁ 'Αλέξανδρος καὶ τῇ συνήθει τάξει καθοπλισθῆναι D (8) στρατεύματα αὐτοῦ C/ ἦσαν δὲ CD (9) καὶ τοῦ ἡλίου ἀνατέλλοντος ηὔξανον τὰ δένδρα D (10) μέχρις CDBL/ ἑβδόμης ὥρας C/ ἐξέλειπον RCBL, ἔληγον D (11) μηδ' ὅλως φαίνεσθαι RL, μὴ φαίνεσθαι ὅλως C, μὴ φαίνεσθαι DB/ post φαίνεσθαι add. LB δάκρυα δὲ εἶχον ὡς Περσικὴν στακτήν(ὥσπερ συκῆς στακτῆς B)/ χρηστήν RDBL, καλήν C (12) ἐκκόπτεσθαι CD (13) αἰφνίδιον RBL, ἐξαίφνης D, καὶ αἰφνιδίως C/ ἐκλέγοντες αὐτά C (14) ὑπό τινος δαίμονος C (16) ἑώρα D (17) μηδὲ (μήτε C) ἐκκόπτειν DC (18) παύσηται R, παύσονται D, παύσησθε C/ τότε 'Αλέξανδρος D (19) μήτε ἐκκόπτειν μήτε συλλέγειν CBL/ μήτε ἐκκόπτειν ἐκέλευσε μήτε συλλέγειν τινὰ ἐξ αὐτῶν,ὡς ἂν μή τι τῶν ἀπροσδοκήτων πάθωσιν D (21) τῷ ποταμῷ τῷ αὐτῷ D/ μέλανοι C (22) ἦσαν δὲ δράκοντες ἐν τῷ C (25) ἐκπλύνας C (26) μετ' ὀλίγον om.CBL/ ἐν τῷ ποταμῷ RCBL, ἐκεῖσε καί D

ποταμῷ ὄρνεα παρεμφερῆ τοῖς παρ' ἡμῖν ὀρνέοις· εἴ τις οὖν ἐξ αὐτῶν ἐθίγγανεν,πῦρ ἐξήρχετο ἐξ αὐτῶν.

37

τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ὡδεύσαμεν πελαζόμενοι,ἔλεγον δὲ ὁδηγοὶ τῷ 'Αλεξάνδρῳ· "οὐκ οἴδαμεν,ποῦ ὑπάγομεν,δέσποτα βασιλεῦ 'Αλέξανδρε· ᾶς ὑποστρέψωμεν,μὴ εἰς χείρονας τόπους ἐμπέσωμεν." αὐτὸς δὲ οὐκ ἐβουλήθη ὑποστρέψαι. καὶ δι' ἡμερῶν δέκα διελθὼν τελείως τὸ τῆς ἡμέρας οὐκ ἦν φέγγος,ἀλλ' ὡς ὥρας μιᾶς μικρά τις ἐφαίνετο αὐγή. ὑπήντων δὲ αὐτοῖς θηρία πολλὰ καὶ ἑξάποδα καὶ τριόφθαλμα καὶ ἄλλα πολλὰ γένη θηρίων, καὶ ἃ μὲν ἀνεχώρουν φεύγοντα,ἃ δὲ ἐφήλλοντο ἡμῖν. ἤλθομεν δὲ εἴς τινα τόπον,ὅθεν ἐξῆλθον θηρία ὅμοια ὀνάγρῳ,ἔχοντα ἀνὰ πήχεις εἴκοσιν,οὐκ εἶχον δὲ ἀνὰ δύο ὀφθαλμούς,ἀλλ' ἀνὰ ἕξ,τοῖς δὲ δυσὶ μόνοις ἔβλεπον. οὐκ ἦσαν δὲ μάχιμα,ἀλλὰ ἤπια.

(1) παρεμφερῆ τῶν ὄρνεων τῶν παρ' ἡμῖν C/ εἴ τι οὖν αὐτῶν C (2) ἔθιγεν D/ εὐθὺς πῦρ D/ ἐξήρχετο RD, ἐξέβαινεν CBL/ ἐξ αὐτῶν DC, ἐξ αὐτοῦ R/ D pergit καὶ κατέφλεγε τὸν καθάπτοντα τούτοις (3) καὶ τῇ D/ ὥδευσαν C, ὁδεύσαντες D/ πελαζόμενοι RDL, πλανώμενοι CB, πλαζόμενοι Meusel / πελαζόμενοι ὁδοῦ διάστημα οὐκ ὀλίγον D/ οἱ ὁδηγοί CDBL (4) οὐκ – 5 ἅς om. R (5) ἅς om.CBL/ ἵνα μή CD/ ἡμεῖς ἐμπέσωμεν C, ἐμπέσωμεν τόπους D (6) αὐτὸς δὲ ὁ 'Αλέξανδρος οὐκ ἐβούλετο C/enuntiatum καὶ δι'– 8 αὐγή e recensione ε interponitur/ καὶ δὴ δι'D (7) διελθόντες D/ τελείως RQ, ἐκεῖθεν D, om. C/ οὐκ ἦν RCQ, οὐκ ἔβλεπον D/ ὡς ἐν ὥρᾳ μιᾷ D, ἐπὶ ὥρας μιᾶς C (8) ὑπήντα CB/ καὶ θηρία D (9) καὶ ante ἑξάποδα om.DB/ τριόφθαλμα καὶ πεντόφθαλμα CDL, post πεντόφθαλμα add.τὸ μῆκος ἔχοντα πήχεις δέκα CBL (10) ἀφήλλοντο αὐτοῖς C, τούτοις ἐφήλλοντο καὶ ἡμεροῦντο D/ ἐκεῖθεν δὲ ἀπάραντες ἤλθομεν D, εἶτα ἐλθὼν 'Αλέξανδρος εἰς ἀμμώδη τινὰ τόπον,ὅθεν C (11) ἐξήλθοσαν D (12) ὀφθαλμῶν RL (13) μάχιμαι R, μάχιμα τὰ τοιαῦτα D/ post ἤπια e recensione β add. C καὶ ἄλλα δὲ πολλὰ κατέβαλλον τοῖς τόξοις οἱ στρατιῶται. κἀκεῖθεν ἀναχωρήσας 'Αλέξανδρος ἦλθεν εἴς τινα τόπον,ἔνθα ἦσαν ἄνθρωποι κυνοκέφαλοι,λαλοῦντες ἀνθρωπίνως τῇ ἰδίᾳ γλώσσῃ,δασεῖς,δερματοφόροι,ἰχθυοφάγοι· θαλασσίους δὲ ἰχθύας ἀγρεύοντες,ἐκόμιζον τῷ στρατοπέδῳ αὐτοῦ ἐκ τῆς παρακειμένης αὐτοῖς θαλάσσης. φώκας δὲ πλείστας καὶ μεγάλας ἴδον ἑρπούσας ἐπὶ τῆς γῆς. πολλοὶ δὲ οἱ φίλοι τῷ 'Αλεξάνδρῳ συνεβούλευσαν τοῦ ὑποστρέψαι· ἀλλ' οὐκ ἐβουλήθη θέλων ἰδεῖν τὸ τέλος τῆς γῆς.

deinde C e recensione β add.

38

ἐκεῖθεν οὖν (sequuntur quattuor folia corrupta in cod. C) ἀναλαβὼν ὁ 'Αλέξανδρος ἔρημον ὥδευσεν ἐπὶ θάλασσαν μηκέτι μηδὲν ὁρῶν,μήτε πετεινόν,μήτε θηρίον,εἰ μὴ τὸν οὐρανὸν καὶ τὴν γῆν· τὸν δὲ ἥλιον οὐκέτι ἐθεώρουν,ἀλλὰ μαῦρον τὸν ἀέρα ἐπὶ ἡμέρας δέκα. ἐλθὼν δὲ εἴς τινα τόπον παραθαλάσσιον καὶ τὰς σκηνὰς ἐκεῖθεν καὶ τὴν παρεμβολὴν κελεύσας παγῆναι,ἀνῆλθεν σὺν τοῖς στρατιώταις εἰς πλοιάρια καὶ κατέπλευσεν εἴς

τινα νῆσον τῆς θαλάσσης οὐ μακρὰν οὖσαν τῆς γῆς, ἐν ᾗ ἤκουεν λαλιᾶς ἀνθρώπων Ἑλληνικῇ διαλέκτῳ λαλούντων· τοὺς δὲ ἀνθρώπους τοὺς λαλοῦντας οὐδεὶς ἑώρα. τινὲς δὲ στρατιῶται παραβουλευσάμενοι κολύμβῳ διῆλθον ἀπὸ τοῦ πλοιαρίου εἰς τὴν νῆσον τοῦ ἱστορῆσαι αὐτήν· καὶ εὐθέως καρκίνοι ἐξελθόντες εἵλκυσαν αὐτοὺς εἰς τὸ ὕδωρ. φοβηθεὶς οὖν ὁ Ἀλέξανδρος ὑποστραφῆναι εἰς τὴν γῆν ἐκέλευσεν. ἐξελθόντες δὲ τῶν πλοίων, ἔνθεν περιπατῶν Ἀλέξανδρος περὶ τὴν ὄχθην ἐπελθὼν θαλάσσης εὗρε καρκίνον ἐξελθόντα εἰς τὴν ξηράν, τὸ μέγεθος μέγα σφόδρα, οἱ δὲ ἐμπρόσθιοι πόδες οἱ λεγόμενοι διχηλοὶ ἐκλύοντο. ἰδόντες δὲ αὐτὸν οἱ στρατιῶται καὶ βάλλοντες δόρασιν ἀνεῖλον αὐτὸν μετὰ βίας· σίδηρος γὰρ οὐκ εἰσήρχετο ἐν τῷ ὀστράκῳ αὐτοῦ, τοῖς γὰρ ἐμπροσθίοις ποσὶ συνέτριβε τὰ δόρατα αὐτῶν· ἀνελόντες δὲ αὐτὸν καὶ ἀναπτύξαντες εὗρον ἐν αὐτῷ μαργαρίτας ἑπτὰ μεγάλους, τιμῆς ἀξίους· οὐδεὶς γὰρ τῶν ἀνθρώπων τοιούτους μαργαρίτας πώποτε ἐθεάσατο. τούτους ἰδὼν Ἀλέξανδρος ὑπέλαβεν ἐν τῷ τῆς ἀπλεύστου θαλάσσης βυθῷ αὐτὰ γενέσθαι. ὅθεν ὑπενόησεν κλουβὸν σιδηροῦν γενέσθαι μέγαν, ἔσωθεν δὲ τοῦ κλουβοῦ εἰσενεχθῆναι παμμεγέθη ὑέλινον πίθον ἔχοντα τὸ πάχος σπιθαμὴν μίαν. ἐκέλευσεν οὖν ὁ Ἀλέξανδρος ἐν τῷ πυθμένι τοῦ πίθου γενέσθαι τρυμαλιὰν ὡς χωρεῖν ἀνθρώπου χεῖρα· βουλόμενος δὲ κατελθεῖν καὶ μαθεῖν τί ἐστιν ἐν τῇ θαλάσσῃ, ἔχειν δὲ κεκλεισμένην τὴν τρυμαλιὰν τὴν οὖσαν ἐν τῷ πυθμένι ἔσωθεν, ὅπως κατελθόντος αὐτοῦ εὐθέως ἀνοῖξαι καὶ ἐξαγαγεῖν αὐτὸν τὴν χεῖρα διὰ τῆς τρυμαλιᾶς καὶ εὐθέως λαβεῖν ἐκ τῆς παρακειμένης ψάμμου τὸ εὑρεθὲν ἐν τῷ πυθμένι τῆς τοιαύτης θαλάσσης καὶ πάλιν εἰσενεγκεῖν τὴν χεῖρα καὶ φράξαι τὴν τρυμαλιάν· 8 καὶ πεποίηκεν. ἐκέλευσε δὲ γενέσθαι ἅλυσσον (deb. ἅλυσιν) ὡσεὶ πηχῶν διακοσίων (ἢ ὀργυιῶν) καὶ προσέταξεν, ἵνα μηδεὶς ἀνελκύσῃ αὐτόν, ἐὰν μὴ πρῶτον ἡ ἅλυσσος ταραχθῇ, ἵνα ὅταν κατελθὼν ὁ Ἀλέξανδρος ἐν τῷ πυθμένι τῆς θαλάσσης εὐθέως ταράξῃ τὸν κλουβόν, καὶ τότε οὗτοι ἀνάγουσιν αὐτόν. μετὰ γοῦν τὸ κατασκευασθῆναι πάντα εἰσῆλθεν ὁ Ἀλέξανδρος ἐν τῷ ὑέλῳ πίθῳ μετὰ τοῦ κλουβοῦ, βουλόμενος ἐπιχειρεῖν ἀδυνάτοις. εἰσελθὼν δέ, διὰ μολύβδου ἐκλείσθη ἡ εἴσοδος· καὶ κατελθὼν πήχεις ἑκατὸν εἴκοσι, ἰχθὺς μέγας διῆλθε· καὶ τῇ κέρκῳ αὐτοῦ κρούσας τὸν κλουβόν, ἀνήγαγον αὐτὸν διὰ τὸ τὴν ἅλυσσον ταραχθῆναι. ὁ δὲ

ἐκεῖθεν δὲ ἀναχωρήσαντες εἰς τόπον τινὰ ἐπίπεδον,μέσον δὲ τῆς πεδιάδος φάραγξ ἦν διαχωρίζουσα,τῆς δὲ φάραγγος τὸ βάθος ἀνείκαστον ἦν. ἐκεῖσε οὖν Ἀλέξανδρος ἤγειρεν ἀψῖδα, γεφυρώσας αὐτήν· ἐν δὲ τῇ ἀψῖδι γράψας γράμμασιν Ἑλληνικοῖς καὶ Περσικοῖς καὶ Αἰγυπτιακοῖς,ἡ δὲ γραφὴ διηγόρευε ταῦτα· ἐνθάδε Ἀλέξανδρος εἰσελθὼν ἤγειρεν ἀψῖδα ἐν ᾗ πανστρατὶ διαβάς,ἄκρῳ θέλων γαίας καταλαβεῖν ὡς τῇ προνοίᾳ δόξειε. διελθὼν δὲ τῶν ἐκεῖσε ὁδὸν ἡμερῶν τριῶν,οὐκέτι τῶν ἐκεῖσε τελείως φῶς ἦν ἡμέρας· κελεύει δὲ Ἀλέξανδρος ἐκεῖσε καταλείπειν τὴν ἅπασαν ἀπαρτίαν τοῦ φοσσάτου· τὸν δὲ ἐκλεκτὸν ἀναλαβόμενος στρατὸν πειρᾶται τὴν παννύχιον διελθεῖν γαῖαν,λαβὼν μεθ' ἑαυτοῦ ἀρτιτόκους φοράδας,τὰ δὲ τούτων πωλάρια παρακρατηθῆναι εἰς τὴν παρεμβολὴν τοῦ φοσσάτου· καὶ οὕτως εἰσήλθοσαν ὁδὸν σκοτεινὸν ἐπὶ σχοίνοις

'Αλέξανδρος προσέταξε πάλιν καταγαγεῖν αὐτὸν καὶ αὖθις τὸ αὐτὸ ἐγένετο· τρίτον οὖν καταβὰς ὡσεὶ πήχεις διακοσίας ἔβλεπεν διὰ τοῦ ὑέλου περικυκλοῦντα αὐτὸν πλήθη ἰχθύων· καὶ ἰδοὺ ἐλθὼν παμμεγέθεστος (sic) ἰχθὺς ἔλαβεν αὐτὸν σὺν τῷ κλουβῷ ἐν τῷ στόματι αὐτοῦ καὶ ἀνήγαγεν αὐτὸν ἐπὶ τὴν γῆν μακρόθεν τῶν πλοιαρίων μιλίου ἑνός· ἦσαν δὲ οἱ κατάγοντες αὐτὸν ἑκατὸν πεντήκοντα· καὶ πάντας εἵλκυσεν ὁ ἰχθὺς σὺν τοῖς τέσσαρσι πλοιαρίοις.(cod. nunc facile legitur.) φθάσας δὲ σὺν τῷ κλουβῷ ἐν τῇ ξηρᾷ καὶ τοῖς ὀδοῦσιν τὸν κλουβὸν ἀποτινάξας ἔρριψεν αὐτὸν ἐπὶ τὴν ξηράν. ὁ δὲ βασιλεὺς 'Αλέξανδρος ἡμίπνους ὅλως καὶ σύντρομος ἐξελθὼν καὶ νενεκρωμένος ἐκ τοῦ φόβου αὐτοῦ ηὐχαρίσθη τῇ ἄνω προνοίᾳ τῇ φυλαξάσῃ αὐτὸν ἐκ τοῦ πονηροῦ θηρὸς ἐκείνου· ὅμως εἶπε πρὸς ἑαυτόν· " ἀπόσχου, 'Αλέξανδρε, ἀδυνάτοις ἐπιχειρεῖν, μήπως ἐρευνῶν ἀνιχνεύτοις βυθοῖς καὶ τοῦ ζῆν στερηθῇς· " καὶ εὐθέως προσέταξε τὸ στρατόπεδον ἐκεῖθεν ἀπᾶραι καὶ ἐπὶ τὰ ἔμπροσθεν πορεύεσθαι.

(1) initium huius cap. usque ad 12 φοράδας e recensione ε sumptum/ ἐκεῖθεν οὖν πάλιν ὥδευσεν 'Αλέξανδρος μετὰ τοῦ στρατοῦ αὐτοῦ καὶ ἀναχωρήσαντες C, ἀναχωρήσαντες ἦλθοσαν D
(2) post διαχωρίζουσα perg.C ἐκείνην οὖν 'Αλέξανδρος γεφυρώσας ἔγραψεν ἐν αὐτῇ γράμματα 'Ελληνικὰ κτλ.
(3) ἔνθα ὁ 'Αλέξανδρος D (4) ἐν ᾗ γράμματα ἐνεκόλαψεν 'Ελληνικὰ κτλ. D (5) αἱ δὲ γραφαὶ διηγόρευον C
(6) διελθὼν D (7) διαβὰς ἀνεπαύσατο D/ ἄκρῳ R, ἄκρον CQ, ἄκρα D (8) ἔδοξεν C, δόξειε περὶ αὐτοῦ γενέσθαι D/ τῶν ἐκεῖσε οὖν διελθόντες ὁδὸν ἡμερῶν τριῶν οὐκέτι φῶς ἡμέρας ἔβλεπον· κελεύει τοιγαροῦν ὁ 'Αλέξανδρος D
(10) καταλιπεῖν DQ/ ἀπαρτίαν RQ, στρατίαν D/ τοῦ φοσσάτου om. D (11) ἐκλεκτὸν τοῦτον D (12) καὶ δὴ λαβὼν D/ a verbis τὰ δὲ τούτων πωλάρια recensionem β sequuntur RD. C iam post 8 δόξειε ad recensionem β transierat, sed uberiorem praebet narrationem quam RD; vide adnot. infra.
(13) παρακρατηθῆναι om. D/ post φοσσάτου perg. D ἀφεὶς εἰσῆλθε μεθ' αὐτῶν ὁδὸν

πεντεκαίδεκα· καὶ εἴδοσάν τινα τόπον, καὶ ἦν ἐν αὐτῷ πηγὴ διαυγής, ἧς τὸ ὕδωρ ἤστραπτεν ὡς ἀστραπή. πρόσπεινος δὲ γενόμενος Ἀλέξανδρος ἠθέλησε δέξασθαι ἄρτον καὶ καλέσας τὸν μάγειρον εἶπεν αὐτῷ· "εὐτρέπισον ἡμῖν προσφάγιον." ὁ δὲ τάριχον λαβὼν ἦλθεν ἐπὶ τὸ διαυγὲς ὕδωρ τῆς πηγῆς τοῦ πλῦναι τοῦτο, καὶ εὐθέως βραχὲν ἐν τῷ ὕδατι ἐψυχώθη καὶ ἔφυγεν ἐκ τῶν χειρῶν τοῦ μαγείρου. ἦσαν δὲ πάντες οἱ τόποι ἐκεῖνοι ἔνυγροι· ὁ δὲ μάγειρος οὐδενὶ ἐδήλωσε τὸ γενόμενον.

(1) ἐκεῖσε τόπον τινὰ D/ ἦν om.D (3) ὁ 'Αλέξανδρος D inde a pag.304,8 δόξειε haec praebet C (cf. rec.β):

καὶ διὰ τριῶν ἡμερῶν ἦλθεν εἰς τόπους,ὅπου ὁ ἥλιος οὐκ ἔλαμπεν. ἐκεῖ ἐστιν ἡ καλουμένη Μακάρων χώρα. καὶ καταλείψας 'Αλέξανδρος τὴν ἀπαρτίαν τοῦ φοσσάτου καὶ τὸν πεζὸν λαὸν μετὰ τῶν γερόντων καὶ τῶν γυναικῶν ἠθέλησε παραλαβεῖν ἐπιλέκτους νέους,τοῦ ἱστορῆσαι καὶ ἰδεῖν τοὺς τόπους ἐκείνους. Καλλισθένης δέ τις φίλος αὐτοῦ συνεβουλεύσατο αὐτῷ εἰσελθεῖν σὺν φίλοις τεσσαράκοντα καὶ παισὶν ἑκατὸν καὶ στρατιώταις χιλίοις διακοσίοις. ἐπορεύθη οὖν 'Αλέξανδρος ὁ βασιλεὺς σὺν αὐτοῖς παραγγείλας μὴ συνακολουθῆσαι τινὰ γέροντα μεθ' ἑαυτῶν. εἷς δέ τις γέρων περίεργος, ἔχων δύο υἱοὺς γενναίους καὶ ἀληθεῖς στρατιώτας λέγει πρὸς αὐτούς· "τέκνα ἀκούσατε τοῦ πατρὸς ὑμῶν καὶ λάβετέ με μεθ' ὑμῶν καὶ οὐχ εὑρεθήσομαι κενὸς ἐν τῇ ὁδῷ· οἶδα γὰρ ὅτι ἐν καιρῷ περιστάσεως ζήτησις μέλλει γενέσθαι γέροντος·ὑμεῖς οὖν οἱ ἔχοντές με μεθ'ὑμῶν ἐκεῖ μεγάλως τιμηθήσεσθε παρὰ τοῦ βασιλέως ἡμῶν·⟨hic addas μὴ φοβήθητε⟩ μήπως εὑρεθέντες παραβαίνειν τὸ πρόσταγμα αὐτοῦ καὶ τοῦ ζῆν στερηθῆτε· καὶ νῦν ἀναστάντες κείρατέ μου τὴν κεφαλὴν καὶ τὸν πώγωνα· καὶ ἀλλάξας τὰς τρίχας καὶ τὸ σχῆμα πορεύσομαι μεθ' ὑμῶν,καὶ ἐν καιρῷ δέοντι μεγάλως ὑμᾶς ὠφελήσω." οἱ δὲ ποιήσαντες τὸ κελευσθὲν παρὰ τοῦ πατρὸς αὐτῶν ἀπῆραν μετ' αὐτῶν τὸν γέροντα τὸν πατέρα αὐτῶν,καὶ οὕτως ὥδευσαν σὺν τῷ 'Αλεξάνδρῳ· καὶ εὗρον τόπον ὁμιχλώδη·μὴ δυνάμενοι δὲ πορρωτέρω προβῆναι διὰ τὸ ἄβατον εἶναι τὸν τόπον ἀπῆραν ἐκεῖθεν τὰς σκηνὰς αὐτῶν. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ λαβὼν τοὺς χιλίους ἐνόπλους εἰσῆλθεν ὁ 'Αλέξανδρος μετ' αὐτῶν ἱστορῆσαι,μήπως ἐνταῦθά εἰσι τὰ ἄκρα τῆς γῆς· καὶ εἰσελθὼν ἐν τοῖς ἀριστεροῖς μέρεσιν εἶδε μέρος τόπου φωτεινότερον· καὶ ὥδευσε τόπους ἐρήμους καὶ κρημνώδεις ἕως ἡμέρας ἥμισυ· τοῦτο δὲ οὐκ ἐκ τοῦ ἡλίου ἐπέγνω,ἀλλὰ σχοινίοις ἐμέτρα (sic) τὴν ὁδὸν κατὰ τὴν γεωμετρίαν καὶ ἐπέγνω τὴν ὥραν. μετὰ δὲ ταῦτα φοβηθεὶς ὁ 'Αλέξανδρος ὑπέστρεψε διὰ τὸ τὴν ὁδὸν ἄβατον εἶναι· ἐξελθὼν δὲ ἠβουλήθη ἐλθεῖν ἐν τοῖς δεξιοῖς μέρεσιν. ἦν γὰρ

πεδίον ὁμαλόν, πλῆν ζοφῶδες καὶ σκοτεινόν. αὐτὸς οὖν ἐν ἀμηχανίᾳ γενόμενος, ὅτι οὐδεὶς τῶν νέων συνεβούλευσεν αὐτῷ εἰσελθεῖν ἐν τῷ ζοφώδει τόπῳ, μήποτε γὰρ τῶν ἀρρένων ἵππων διὰ τοῦ σκότους τῆς μακρᾶς ὁδοῦ κοπιασάντων οὐ δυνήσονται ὑποστρέψαι. ὁ δὲ Ἀλέξανδρος εἶπε πρὸς αὐτούς· " ὦ γενναῖοι στρατιῶται, πάντες ἐν τοῖς πολέμοις νῦν ἐγνώκατε, ὅτι ἄνευ βουλῆς καὶ συνέσεως οὐδέν ἐστι γενναῖον. καὶ γὰρ ἐλθὼν γηραιὸς συνεβούλευσεν (nota irrealim) ἡμῖν, πῶς δεῖ εἰσελθεῖν ἐν τῷ ζοφώδει τόπῳ τούτῳ. ἀλλ' οὖν τις ἐν ὑμῖν γενναῖος ἀπελθεῖν ἐν τῇ παρεμβολῇ ἡμῶν ἐνέγκοι μοι γέροντα, καὶ λήψεται παρ' ἐμοῦ χρυσίον πολύ." οὐδεὶς δὲ εὑρέθη ἐξ αὐτῶν τοῦτο ποιῆσαι διὰ τὸ τῆς ὁδοῦ μῆκος καὶ διὰ τὸν ἀέρα ἀφεγγῆ εἶναι· καὶ προσελθόντες οἱ υἱοὶ τοῦ γέροντος λέγουσιν αὐτῷ· "εἰ ἀνεξικάκως ἀκούεις ἡμῶν, βασιλεῦ, ἐροῦμέν τι πρός σε." ὁ δὲ βασιλεὺς Ἀλέξανδρος εἶπεν· " εἰ δ' ἂν βούλησθε, εἴπατε· ὄμνυμι γὰρ τὴν ἄνω πρόνοιαν τοῦ μὴ ἀδικῆσαι ὑμᾶς." οἱ δὲ εὐθέως διηγήσαντο αὐτῷ περὶ τοῦ πατρὸς αὐτῶν καὶ δραμόντες παρέστησαν αὐτῷ τὸν γέροντα. ὁ δὲ Ἀλέξανδρος ἰδὼν κατησπάσατο αὐτὸν καὶ βουλὴν ᾐτεῖτο δοῦναι αὐτοῖς. ὁ δὲ γέρων ἔφη· " ἔξεστί σοι, ὦ βασιλεῦ Ἀλέξανδρε, τοῦτο γνῶναι, ὅτι εἰ μὲν ἵπποι εἰσέλθουσιν(possis εἰ μὴ - ἐξέλθωσιν) οὐκέτι τὸ φῶς ὄψει. ἐπίλεξον οὖν ἵππους θηλείας ἐχούσας πώλους καὶ τοὺς μὲν πώλους ἔασον ἐνταῦθα, ἡμεῖς δὲ εἰσελθόντες μετὰ τῶν θηλείων ἵππων, ἄξουσιν ἡμᾶς αὗται ἐκεῖσε." ζητήσας οὖν ὁ Ἀλέξανδρος ἐν ἐκείνοις πᾶσι τοῖς οὖσι μετ' αὐτοῦ οὐχ εὗρεν εἰ μὴ ἑκατὸν ἵππους θηλείας μετὰ τῶν πώλων αὐτῶν. λαβὼν οὖν αὐτὰς καὶ ἑτέρους ἑκατὸν ἐπιλέκτους, ὁμοίως καὶ ἄλλους πλείστους βαστάζοντας τὰς τροφὰς αὐτῶν, εἰσῆλθον κατὰ τὴν βουλὴν τοῦ γέροντος ἐάσαντες ἔξω τοὺς πώλους. ὁ δὲ γέρων παρήγγειλε τοῖς υἱοῖς αὐτοῦ, ὅτι δ' ἂν εὕρωσι μετὰ τὸ εἰσελθεῖν ἐπὶ τῆς γῆς κείμενον, τοῦτο συνάγειν καὶ βάλλειν ἐν τοῖς μαρσίποις αὐτῶν· καὶ εἰσῆλθον μετὰ Ἀλεξάνδρου τριακόσιοι ἑξήκοντα στρατιῶται· καὶ οὕτως εἰσερχόμενοι ὁδὸν σκοτεινὴν ἐπὶ σχοίνους δεκάπεντε εἶδόν τινα τόπον, καὶ ἦν ἐν αὐτῷ πηγὴ διαυγής, ἧς τὸ ὕδωρ ἤστραπτεν ὡς ἀστραπή· ἦν δὲ ὁ ἀὴρ ἐκεῖνος εὐώδης καὶ πάνυ γλυκύτατος. πρόσπεινος δὲ γενόμενος Ἀλέξανδρος ὁ βασιλεὺς ἤθελε γεύσασθαι ἄρτου, καὶ

4o

πάλιν οὖν ὁδεύσαντες σχοίνους τριάκοντα λοιπὸν εἴδομεν τὸ στερέωμα ἄνευ ἡλίου καὶ σελήνης καὶ ἄστρων. εἴδοσαν δὲ δύο ὄρνεα πετόμενα καὶ μόνον ἔχοντα ὄψεις ἀνθρωπίνους, Ἑλληνικῇ δὲ διαλέκτῳ ἐκραύγαζον· "τί χώραν πατεῖς,Ἀλέξανδρε τὴν θεοῦ μόνον; ἀνάστρεφε,δείλαιε,Μακάρων νήσους πατεῖν οὐ δυνήσῃ· ἀνάστρεφον οὖν,ἄνθρωπε,καὶ τὴν δεδομένην σοι γῆν πάτει,καὶ μὴ κόπους παρέχε σεαυτῷ." σύντρομος δὲ γενόμενος κάλλιστα ὑπήκουσε τῆς φωνῆς τῆς ὑπὸ τῶν ὄρνεων αὐτῷ δεδομένης. τὸ δὲ ἕτερον ὄρνεον πάλιν ἐφθέγξατο Ἑλληνικῇ διαλέκτῳ, "ἐκκαλεῖταί σε",φησίν," ἡ ἀνατολὴ καὶ ἡ Πώρου βασιλεία νίκῃ ὑποταγήσεταί σοι." καὶ ταῦτα εἰπὸν τὸ ὄρνεον ἀνέπτησεν. ἀκούσας δὲ ταῦτα Ἀλέξανδρος ἐκέλευσεν τῷ Ἀντιόχῳ παντὶ τῷ στρατῷ ἐπισημῆναι· "ἕκαστος,ὅ βούλεται τῶν ὧδε ἀράτω εἴτε λίθον εἴτε πηλὸν ἢ καὶ ξύλον." καὶ τοῖς μὲν ἔδοξεν τοῦτο ποιεῖν, τοῖς δὲ λῆρος τὸ ῥῆμα ἐδόκει τοῦ Ἀλεξάνδρου. ὁ δὲ ἐπὶ τὸ στρατόπεδον ὥρμησεν καὶ μετ' αὐτῷ μόνον ὁ Φίλων ὁ φίλος αὐτοῦ,καὶ λέγει αὐτῷ Ἀλέξανδρος·" κάτελθε τοῦ ἵππου καί,ὃ ἐν ταῖς χερσί σου τύχῃ,ἀνάλαβε τοῦτο." κατελθὼν δὲ ὁ Φίλων λίθον

καλέσας τὸν μάγειρον αὐτοῦ ὀνόματι καλούμενον 'Ανδρέαν εἶπεν αὐτῷ, ἵνα εὐτρεπίσῃ προσφάγιον. ὁ δὲ ὠοτάριχον (sic) λαβὼν ἐπορεύθη ἐπὶ τὸ διαυγὲς ὕδωρ τῆς πηγῆς ἐκπλῦναι τὸ ἔδεσμα· καὶ εὐθέως βραχὲν ἐν τῷ ὕδατι ἐψυχώθη καὶ ἐξέφυγε τῶν χειρῶν τοῦ μαγείρου· ὁ δὲ μάγειρος οὐδενὶ ἐδήλωσε τὸ γενόμενον, αὐτὸς δὲ λαβὼν ἐξ αὐτοῦ τοῦ ὕδατος ἐν σκεύει τινὶ ἀργυρέῳ ἐφύλαξεν. ἦν γὰρ πᾶς ὁ τόπος ἐκεῖνος βρύων ὕδατα, ἐξ ὧν πάντες ἔπιον καὶ ἔλαβον τροφῆς.

(1) μετὰ δὲ τὸ λαβεῖν βρώσεως πάλιν ὁδεύσας 'Αλέξανδρος σχοίνους τριάκοντα εἶδε λοιπὸν αὐγὴν ἄνευ C(L)/ εἴδοσαν D
(2) εἶδον δὲ καὶ D, καὶ ἐθεάσατο τρία ὄρνεα C
(3) καὶ μόνον om. D/ ἀνθρωπίνας DBL, ἀνθρωπείας C
(4) δέ om. CL/ ἐξ ὕφους κραυγάζοντα αὐτῷ· ἡ χώρα, ἣν πατεῖς, 'Αλέξανδρε, τοῦ θεοῦ μόνου ἐστίν C (5) νήσους RDL, χώραν C (7) γενόμενος 'Αλέξανδρος C/ κάλλιστα RCL, μάλιστα D (8) τῇ φωνῇ τὰ ὑπὸ τοῦ ὀρνέου αὐτῷ δεδομένῃ R (9) ἐφθέγξατο αὐτῷ· ἐκκαλεῖταί σε ἡ ἀνατολή, 'Αλέξανδρε C (11) ἀνέκτισεν R, ἀνέκτη DC, possis etiam ἀνίκτησεν/ a voce ἀκούσας usque ad finem libri secundi recensio γ sequitur recensionem ε.
(12) ὁ 'Αλέξανδρος D/ ὁ δὲ 'Αλέξανδρος ἐξιλεωσάμενος τῇ ἄνω προνοίᾳ ἐκέλευσεν 'Αντιόχῳ τοῖς στρατιώταις ἐπισημῆναι C
(15) ἐδόκει τὸ ῥῆμα τοῦ 'Αλεξάνδρου· ὡς δὲ πορευόμενοι, εἶπεν ὁ 'Αλέξανδρος τῷ Φίλωνι· κάτελθε κτλ. C
(16) μετ' αὐτοῦ μόνος Φίλων D (17) λέγει οὖν αὐτῷ ὁ 'Αλέξανδρος D (18) ταῖς χερσί D, τῇ χερσί R, τῇ χειρί C/ τύχῃ RCQ, τύχοι D/ τοῦτο om. DQ/ εὗρε λίθον D

εὗρε ὡς ἔοικεν κοινὸν τῶν ἀχρήστων· ἄρας δὲ τοῦτον ᾤχετο μετὰ 'Αλεξάνδρου, καὶ τὸ στρατόπεδον παραλαμβάνουσιν καὶ μὴπω περιπατεῖν ἐξισχύοντες. κελεύει ταῖς φορβάσιν πρὸ τοῦ φοσσάτου εἰσβάλλειν ἐπιβάντας ἐπὶ τὰς παῖδας Μακεδόνων. καὶ τούτου γενομένου κατὰ τὴν ἅμαξαν τῶν ἀστέρων δι' ἡμερῶν εἶκοσι δύο, αἱ φορβάδες τῆς τῶν πώλων εἴχοντο στοργῆς· καὶ οὕτως τῆς παννυχίου ἐκείνης ἐξήεσαν γῆς.

41

⸤ὡς δὲ τὴν φωταυγῆ κατέλαβον γῆν καὶ ἀλλήλους θεασάμενοι, παντελῶς ἦσαν χρυσοὶ πάντες. ὁ δὲ Φίλων τὸν λίθον πρὸς 'Αλέξανδρον ἤγαγεν, καὶ ὅλος ἦν χρυσὸς εὔροιζος· τότε καὶ οἱ ἄραντες μετενόησαν καὶ οἱ μὴ ἄραντες μετενόησαν, καθὼς αὐτοῖς προεῖπεν 'Αλέξανδρος. ἀπάραντες δὲ τῶν ἐκεῖ τὴν ἀπαρτίαν αὐτῶν κατέλαβον· κακεῖ διαναπαυσάμενοι ἀντιστρέφονται, καὶ περῶσι διὰ τῆς ἀφῖδος· καὶ προϋπαντῶσιν τῷ 'Αλεξάνδρῳ ἀνθρωποειδῆ ὄρνεα λέγοντα· "ὃς τὴν δεξιὰν ἀνθυποστρέψειεν ὁδόν, θαυμάσια ὄψεται." ὃ καὶ ἐποίησε 'Αλέξανδρος.

(1) ὡς - ἀχρήστων om. D/ τοῦτον ὡς ἀχρεῖον D
(2) μετὰ τοῦ 'Αλεξάνδρου καὶ δὴ D/ καταλαμβάνουσι DQ
(3) κελεύει οὖν παραυτίκα ὁ 'Αλέξανδρος ἐπιβάντας παῖδας Μακεδόνων ἐπὶ τὰς φορβάδας πρὸ τοῦ φοσσάτου εἰσβάλλειν· καὶ τούτου κτλ. D, κελεύει τὰς φορβάδας πρὸ τοῦ φοσσάτου εἰσβαλεῖν καὶ ἀπολύεσθαι,ἐπιβάντας ἐκ αὐτῶν παῖδας Μακεδόνας Q melius (4) ἐπιβάντας D, ἐπιβάντες R/ τὰς = αὐτὰς (6) τὴν τῶν ὄνων ᾤχοντο στοργὴν R

post 2 'Αλεξάνδρου perg.C(L) πολλοὶ οὖν καὶ τῶν στρατιωτῶν ἐκ τῆς παρακειμένης ὕλης ἐν τῷ τόπῳ ἐκείνῳ ἔλαβον ἕκαστος, ὃ εὗρεν. ἐξαιρέτως δὲ κατὰ τὴν κέλευσιν τοῦ πατρὸς αὐτῶν οἱ υἱοὶ τοῦ γέροντος ἔπλησαν τοὺς μαρσίπους αὐτῶν μήπω περιπατεῖν ἰσχύοντες. ὁ δὲ 'Αλέξανδρος ἔχων τὸν ὁδηγὸν τὰς ὄνους ἔμπροσθε ἔβαλλε καὶ πάλιν κατὰ τὴν ἄμαξαν ἐπορεύετο τῶν ἀστέρων καὶ διά τινων ἡμερῶν ἐξῆλθε πρὸς τὴν φωνὴν τῶν θηλείων ἵππων καὶ οὕτως τῆς παννυχίου ἐξῄεσαν γῆς.

(8) aliam uberiorem narrationem e recensione β praebet C, vide adnotationem infra.

ἐθεάσαντο D (11) καὶ om. D (12) θαυμαστότατος 'Αλέξανδρος D/ τὴν στρατιὰν κατέλαβον ἅπασαν D (13) κἀκεῖσε D/ περῶσι D, περνῶσι R (15) εἰ τὴν δεξιὰν ἀνθυποστρέφειας D (16) ὄψει D

cod. C e recensione β praebet haec (c.41)

ὅτε οὖν ἐξῆλθον εἰς τὸ φῶς,ἔνθα ἦσαν οἱ ἕτεροι στρατιῶται,καὶ ἀλλήλους θεασάμενοι εὗρον μαργαρίτας καὶ λίθους τιμῆς ἀξίους. τούτους ἰδόντες πάντες μετεμελήθησαν,οἵτινες οὐκ ἔλαβον, ὅσοι δὲ ἔλαβον ὑπερηύχοντο πάντες τῷ γέροντι καὶ τῷ 'Αλεξάνδρῳ διὰ τὴν ἀγαθὴν αὐτῶν βουλήν. ὁ δὲ Φίλων τὸν λίθον πρὸς 'Αλέξανδρον ἤγαγε καὶ ὅλος ἦν χρυσὸς εὔροιζος. τότε οὖν καὶ ὁ μάγειρος ὑφηγήσατο,πῶς ἐψυχώθη τὸ ἔδεσμα. ὁ δὲ 'Αλέξανδρος ὀργισθεὶς ἐκέλευσεν αὐτὸν δεινῶς μαστιγωθῆναι. ὅμως εἶπε πρὸς ἑαυτόν· "τί σοι ὄφελος,'Αλέξανδρε,μεταμεληθῆναι ἐπὶ πράγματος παρελθόντος." οὐκ ἦν(malim ἔφη)δέ,ὅτι ἔπιεν ἐκ τοῦ ὕδατος ἢ ὅτι ἐφύλαξεν αὐτό. τοῦτο δὲ ὁ μάγειρος οὐχ ὁμολογῆσαι εἶχεν, εἰ μὴ ἐψυχώθη τὸ ὠτάριχον(sic).

προσελθὼν δὲ ὁ πονηρὸς μάγειρος ἐκεῖνος τῇ θυγατρὶ 'Αλεξάνδρου, τῇ ἐκ τῆς παλλακῆς Οὔνης γεννηθείσῃ καλουμένῃ Καλῇ, ἐπλάνησεν αὐτὴν ὑποσχόμενος δοῦναι πιεῖν ὕδωρ ἐκ τῆς ἀθανάτου πηγῆς· ὃ καὶ ἐποίησεν. ὁ δὲ 'Αλέξανδρος τοῦτο μαθών, ἐφθόνησε τὴν ἀθανασίαν αὐτῶν, καὶ τὴν αὐτοῦ θυγατέρα προσκαλεσάμενος εἶπεν αὐτῇ· " λαβοῦσα τὸν ἱματισμόν σου ἔξελθε ἀπεντεῦθεν· ἰδοὺ γὰρ γέγονας δαίμων ὡς ἀθανατισθεῖσα. ἔσῃ δὲ καλουμένη Νεραΐς, ὡς ἀπὸ τοῦ ὕδατος(i.e. τοῦ νεροῦ) τὸ ἀίδιον ἔχουσα, καὶ ἐνταῦθα κατοικήσεις." ἡ δὲ κλαίουσα καὶ ὀδυρομένη ἐξῆλθε τοῦ προσώπου αὐτοῦ καὶ ἀπῆλθεν ἐν ἐρήμοις τόποις μετὰ τῶν δαιμόνων. τὸν δὲ μάγειρον προσέταξε δεθῆναι λίθῳ ἐν τῷ τραχήλῳ αὐτοῦ καὶ ῥιφθῆναι ἐν τῇ θαλάσσῃ. ὁ δὲ ῥιφθεὶς ἐγένετο δαίμων καὶ κατῴκησεν ἐκεῖ ἔν τινι τόπῳ τῆς θαλάσσης, ἀφ' οὗ ἐκλήθη ὁ τόπος 'Ανδρεατικός (mare Adriaticum)· καὶ ταῦτα μὲν περὶ τοῦ μαγείρου καὶ τῆς θυγατρὸς αὐτοῦ.

ὁ δὲ 'Αλέξανδρος ὑπέλαβε διὰ τῶν σημείων τούτων ἐκεῖσε εἶναι τὰ ἄκρα τῆς γῆς· ὡς δὲ ἔφθασεν εἰς τὴν ἀψῖδα, ἣν ἔκτισεν 'Αλέξανδρος, ἔγραψε πάλιν ἐν αὐτῇ οὕτω διὰ γλυφίδος· οἱ βουλόμενοι εἰσελθεῖν ἐν τῇ τῶν Μακάρων χώρᾳ, δεξιᾷ πορευέσθωσαν.

προσέταξεν οὖν συλληφθῆναι ἐκ τῶν ὄρνεων τοῦ τόπου ἐκείνου δύο, καὶ ἦσαν πάνυ μέγιστα καὶ ἀλκιμώτατα καὶ ἥμερα· βλέποντα γὰρ τοὺς ἀνθρώπους οὐκ ἔφευγον. τινὲς δὲ τῶν στρατιωτῶν καὶ ἐπέβαλον ἐν τοῖς ὤμοις αὐτῶν, τὰ δὲ βαστάζοντα ἀνίπτοντο· ἤσθιον δὲ καὶ θῆρας ἀγρίους· ἔνθεντοι(-τι C) καὶ πλεῖστα τῶν ὄρνεων ἦλθον πρὸς αὐτοὺς διὰ τοὺς ἵππους θνήσκοντας. δύο δὲ ἐξ αὐτῶν κρατήσας ὁ 'Αλέξανδρος προσέταξε μὴ φαγεῖν βρώματα μέχρι τριῶν ἡμερῶν· τῇ δὲ τρίτῃ ἡμέρᾳ προσέταξε κατασκευασθῆναι ξύλον ὅμοιον ζυγῷ καὶ τοῦτο προσδεθῆναι ἐν τοῖς τραχήλοις αὐτῶν. εἶτα ἐλθὼν αὐτὸς ἐν μέσῳ τοῦ ζυγοῦ ἐκράτησε τὸ δόρυ ὡσεὶ πῆχυν τὸ μῆκος ἔχον ἐπάνω ἧπαρ. εὐθὺς οὖν ἀναπτάντα τὰ ὄρνεα τοῦ φαγεῖν τὸ ἧπαρ, ἀνῆλθε μετ' αὐτῶν ὁ 'Αλέξανδρος ἐν τῷ ἀέρι εἰς τὸ ὕψος· πάνυ δὲ ἔτρεμε διὰ τὴν τοῦ ἀέρος ψυχρότητα τὴν ἐκ τῶν ὄρνεων ἐκείνων γεγενημένην. εἶθ' εὐθὺς συναντᾷ αὐτὸν πετεινὸν ἀνθρωπόμορφον καὶ λέγει αὐτῷ· "'Αλέξανδρε, τὰ ἐπίγεια μὴ γινώσκων, πῶς τὰ οὐρανὰ καταλαβεῖν ἐπιζητεῖς; ὑπόστρεψον οὖν διὰ τάχους ἐπὶ τὴν γῆν, μήπως τοῖς ὀρνέοις τούτοις κατάβρωμα γενήσῃ." καὶ πάλιν φησίν· "πρόσχες ἐπὶ τὴν γῆν κάτω." ὁ δὲ Αλέ-

καὶ δι' ὅλης τῆς ἡμέρας διοδεύσας ἔν τινι κατέλαβεν λίμνῃ. ἐκεῖ δὲ τοῦ φοσσάτου ἄπλικτον ποιήσας διανεπαύσατο, τὸ δὲ ὕδωρ μέλιτος ἀνθόμοιον ἦν· ἐν δὲ τοῖς ἄκροις τῇ λίμνῃ εἰσβὰς 'Αλέξανδρος διὰ τὸ διαυγὲς τοῦ ὕδατος, ἰχθὺς δὲ τοῦτον θεασάμενος ὥρμησεν κατ' αὐτοῦ· τοῦτον δὲ θεασάμενος ὁ 'Αλέξανδρος εὐθέως τῆς λίμνης ἀπεπήδησεν. ὁ δὲ ἰχθὺς τῷ τάχει τοῦ κινήματος συνεπαρθεὶς ἐκ τοῦ ὕδατος ἐξερρίφη· ἰδὼν δὲ αὐτὸν 'Αλέξανδρος ἀντιστραφεὶς ἔπληξε τῷ δόρατι. ἦν δὲ θέαμα τῷ μεγέθει· κελεύει δὲ τοῦτον ἐπ' ὄφεσιν αὐτοῦ ἀνατεμεῖν, ὡς ἂν ἴδῃ τὴν τῶν ἐγκάτων αὐτοῦ διάθεσιν. τούτου δὲ γενομένου ἐξέλαμψε λίθος ἐν τῇ κοιλίᾳ αὐτοῦ, ὡς πάντας δοκεῖν λαμπάδιον εἶναι· λαβὼν δὲ τὸν λίθον ὁ 'Αλέξανδρος καὶ χρυσῷ ἐνθεὶς τοῦτον ἐν ταῖς νυξὶν ἀντὶ φανοῦ ἐχρᾶτο.

ἐν δὲ τῇ νυκτὶ ἐκείνῃ γυναῖκες τῆς λίμνης ἐξῄεσαν καὶ κύκλῳ τοῦ φοσσάτου περιιοῦσαι μέλος τι τερπνότατον ἔλεγον ὥστε θεαθῆναι πᾶσιν καὶ τῶν ᾀσμάτων ἀκοῦσαι. τῆς δὲ ἑῴας καταλαβούσης τὴν προκειμένην ὁδὸν ἐποιεῖτο· τῶν ἐκεῖσε οὖν διελθὼν πορείαν ἡμέρας μιᾶς κατέλαβεν τόπον τινά· ὁ δὲ τόπος λεῖος. καὶ δὴ ἀνθρωποειδῆ ζῷα ἐφαίνοντο· ἀπὸ μὲν κεφαλῆς μέχρι ὀμφάλου τέλειοι ἄνθρωποι ὑπῆρχον, κάτωθεν δὲ ἵπποι· καὶ αὐτοὶ εἰς πλῆθος ἦσαν, τόξα ταῖς χερσὶν ἔχοντες· τοῖς δὲ βέλεσιν οὐκ ἦν σίδηρος, ἀλλ' ἀντὶ σίδηρον λίθος ὀξύς· καὶ αὐτοὶ πρὸς μάχην ἦσαν ἕτοιμοι. ὡς δὲ τούτους ἐθεάσατο ὁ 'Αλέξανδρος κελεύει τὸ φοσσάτον ἐκεῖσε παγῆναι καὶ κύκλῳ τῆς φάλαγγος παμμέγεθες ὄρυγμα γενέσθαι, τοῦτο δὲ στεγάσαι καλα-

ξανδρος μετὰ φόβου προσεῖχε, καὶ ἰδοὺ εἶδεν, ὅτι ὄφις μέγας κύκλῳ, μέσον δὲ τοῦ ὄφεως ἅλων. καὶ λέγει αὐτῷ ὁ συναντήσας· "γινώσκεις, τί ἐστι ταῦτα; ἡ ἁλών ἐστιν ὁ κόσμος, ὁ δὲ ὄφις ἡ θάλασσα ἡ κυκλοῦσα τὴν γῆν." αὐτὸς δὲ ὑποστρέψας τῇ βουλῇ τῆς ἄνω προνοίας κατῆλθεν ἐπὶ τὴν γῆν, μακρόθεν τοῦ στρατοπέδου αὐτοῦ, ἡμερῶν ἑπτά. εἶχε δὲ ἐκεῖ σατράπην αὐτοῦ, καὶ λαβὼν παρ' αὐτοῦ τριακοσίους ἱππεῖς ἐπορεύθη σὺν αὐτοῖς καὶ ἦλθεν εἰς τὸν στρατὸν αὐτοῦ. οὐκέτι οὖν προσέθετο ἀδυνάτοις ἐπιχειρεῖν. ὡς εἶδον οὖν οἱ μετ' αὐτοῦ ἐκ τῆς τῶν Μακάρων χώρας ἐξελθόντες στρατιῶται ὅτι 'Αλέξανδρος ἐβράδυνεν, ἦλθον καὶ αὐτοὶ εἰς τὸ στρατόπεδον καὶ εὗρον αὐτὸν ἐκεῖ. κἀκεῖσε διαναπαυσάμενοι ἀνθυποστρέφουσι καὶ διαπερῶσι τῆς ἀψῖδος καὶ προϋπαντῶσιν 'Αλεξάνδρῳ ἀνθρωποειδῆ ὄρνεα λέγοντα· "ὃς τὴν δεξιὰν ἀνθυποστρέψειεν ὁδόν, θαυμάσια ὄψεται." ὃ καὶ ἐποίησεν 'Αλέξανδρος.

(1) uberiorem narrationem praebet Q / καὶ μετὰ ταῦτα δι' ὅλης τῆς ἡμέρας ὁ 'Αλέξανδρος διοδεύσας C/ λίμνην τινὰ κατέλαβε καὶ ἐκεῖσε τὸ πλῆθος τοῦ φοσσάτου διανέπαυσε· τὸ δὲ ὕδωρ ἐκεῖνο μέλιτος ἦν ἀνθόμοιον D (2) ἐκεῖ δὲ τὸ φοσσάτον διανεπαύσατο· τὸ δὲ ὕδωρ ἐκεῖνο C (3) τοῖς ἄκροις τῆς λίμνης CD/ εἰσβὰς ὁ 'Αλέξανδρος καὶ διὰ C/ εἰσβαν... .... άνδρου D (4) δέ om. C/ τοῦτον ἰχθὺς θεασάμενος D (5) post αὐτοῦ perg. C ὃ περιιδὼν ὁ 'Αλέξανδρος εὐθέως (7) κινήματος RDQ, πηδήματος C (8) ὁ 'Αλέξανδρος καὶ ἀντιστραφεὶς ἔπληξε τῷ δόρατι· καὶ δὴ κελεύει τοῦτον D (13) τοῦτον RC, τούτῳ DQ (14) ἃ καὶ κύκλῳ D (15) περιοῦσαι R/ λεγον R (16) θεαθῆναι πᾶσι ταύτας D/ ἀσμάτων ἐκείνων ἀκοῦσαι καὶ πάλιν ἀφανεῖς ἐγένοντο C/ τῆς δὲ ἕω C, τῆς δὲ ἡμέρας D (17) προκειμένην αὐτῷ ὁδὸν ἐποιεῖτο ἐπὶ τὰ ἔμπροσθεν· ἐκεῖθεν οὖν διελθὼν ὁδὸν πορείαν D/ τὴν ἐκεῖσε οὖν διελθὼν C, τὰ ἐκεῖσε οὖν διελθὼν ὁδὸν ἡμέρας Q (18) τόπος ἐκεῖνος (om. C) ἦν λεῖος DC (19) ἅτινα ἀπὸ D (20) τοῦ ὀμφαλοῦ C (21) τὰ δὲ βέλη C (22) ἀντὶ σιδήρου CD, om. Q/ λίθοι ὀξεῖς CDQ (23) τούτους om. C (24) τῆς φάλαγγος om. Q (25) τοῦτο – χόρτῳ om. R, καὶ τοῦτο στεγάσαι καλάμοις καὶ χόρτῳ προσέταξεν C, ταῦτα δὲ στεγάσασθαι καλάμοις καὶ χόρτον προσέταξεν Q

μίοις καὶ χόρτῳ· ἔωθεν δὲ πλησίον τῆς διώρυγος ὀλίγους ἐστήσατο τοξότας, ἐν δὲ τοῖς οἰστοῖς εἶπεν μὴ ἔχειν σίδηρα, ἀλλὰ μόνα τὰ ξύλα· "ὁπόταν δὲ τῇ μάχῃ πλησιάσουσι, τοὺς οἰστοὺ ἐπ' αὐτοῖς εὐστόχως τινάξατε· τὰ γὰρ βέλη ἐπιτυχόντα καὶ μὴ ἐνεργήσαντα θρασεῖς αὐτοὺς ἀπεργάσονται· καὶ ὡς ἂν ἴδητε τούτους ἐπιχυθέντας πρὸς ὑμᾶς, ὑμεῖς μὴ δειλιάσητε, ἀλλ' ἐνδότερον προσποιήσασθε φεύγειν, μήπως τῷδε τῷ τρόπῳ τινὰς ἐξ αὐτῶν θηρεῦσαι δυνηθῶμεν." τούτου δὲ γενομένου, ἡμέρας ἄρτι καταλαβούσης ἰδοὺ παρίστανται οἱ ἔφιπποι ἐκεῖνοι ἄνδρες καὶ τὸ φοσσάτον κυκλώσαντες ἵσταντο μήκοθεν τοξεύοντες. ὡς δὲ καὶ παρὰ Μακεδόνων ἀντετοξεύοντο, ἰδόντες δὲ μηδεμιᾶς πληγῆς ἐνεργητικὰ εἶναι τὰ Μακεδονικὰ βέλη, πάντες ἐπισυναχθέντες, τὴν τούτων ὡς δὴ κατεγέλων ἀδράνειαν, καὶ βουλὴν ἐν ἑαυτοῖς ποιησάμενοι, ὥρμησαν ὁμοθυμαδὸν κύκλῳ τοῖς Μακεδόσιν ἐπιχυθῆναι. τοῦτο μὲν ἐποίησαν κατ' αὐτῶν δέ· ὅπου γὰρ ἀνθρωπίνη μορφὴ οὐκ εἰς τέλος ἐμφαίνεται {ἀνθρώπου}, οὐδὲ τὸ φρονεῖν ἀκέραιον πέφυκε· καὶ ὡς μὲν ἄνθρωποι τὸ ἀνενέργητον κατεφρόνησαν τῶν βελῶν, ὡς δὲ κτήνη τὴν ἀνθρωπίνην οὐκ ἐπενόησαν πανουργίαν. ἀσκόπως οὖν κατὰ τοῦ φοσσάτου ὁρμήσαντες, οἱ ἀντιμαχόμενοι τούτους ὡς δῆθεν ἔδοξαν φεύγειν, καὶ εἰς ἄκραν ἐκχυθέντες τῇ διώρυγι πεπτώκασιν. ὡς δὲ τοῦτο ἐγένετο, εὐθέως ὁ 'Αλέξανδρος ὑπεξιέναι αὐτοῖς τὸ πλῆθος ἐνόπλους ἐκέλευσεν· καὶ τότε πεῖραν ἔλαβον, οἵοις ξίφεσιν οἱ Μακεδόνες κέχρηνται ἰσχυροτέροις λίαν καὶ θανατηφόροις. ἐξ αὐτῶν δὲ βουληθεὶς 'Αλέξανδρος περιποιήσασθαι καὶ εἰς τὴν καθ' ἡμᾶς οἰκουμένην ἀγαγεῖν, ἄχρι πεντήκοντα τῆς διώρυγος ἐξήγαγεν, οὕσπερ διασώσας μέχρι ἡμερῶν εἴκοσι δύο, τὴν αὐτῶν μὴ γινώσκων δίαιταν, ἅπαντες ἐφθάρη-

(1) ἔωθεν γ, ἔσωθεν Q/ διώρυχος D (2) ἔστησε DC/ οἰστοῖς C, ὀστοῖς RD/ σίδηρον D (3) πλησιάσωσι CDQ/ ὀστοὺς R (4) ἐπ' αὐτοὺς DQ/ εὐστόχως γ, ἀστόχως Q fort. melius / τινάξαντες CQ (5) ἀπεργάσονται αὐτοὺς C (6) ὑμεῖς om. C/ μὴ δειλιάσητε γ, ὑμεῖς δὲ μηδ' ὅλως στῆτε Q (7) ποιήσασθε C/ μήπως(= fortasse) RC, ὅπως D/ τινὰς θηρεῦσαι D (8) post δυνηθῶμεν add. C καὶ ἐποίησαν οὕτως, καθὼς προσέταξεν αὐτοῖς. τῆς δὲ ἡμέρας C (9) ἰδοὺ om. D/ ἄμφιπποι C (10) ὡς - 11 ἀντετοξεύοντο om. C (11) δέ om. D/ ὅτι μηδεμιᾶς πληγῆς ἐνεργητικῆς εἶναι C (12) ἐπισυναχθέντες DCQ, ἐπισυναγέντες R/ ὡς δὴ om. D (13) ἐν om. C/ καὶ δὴ βουλευσάμενοι ὥρμησαν ὁμοθυμαδὸν κατὰ τῶν Μακεδόνων ἢ μᾶλλον εἰπεῖν καθ' ἑαυτῶν· ὅπου γὰρ D (14) τοῦτο - 15 αὐτῶν δέ om. C (16) ἐφαίνετο CD/ ἀνθρώπου om. D/ πέφυκε RC, κέκτηται D (18) ἀσκόπως CDQ, σκόπως R, τοιγαροῦν καὶ ἀσκόπως οὗτοι κατὰ D (19) καὶ τῶν ἀντιμαχομένων δῆθεν φευγόντων πλεῖστοι τῇ διώρυχι πεπτώκασιν D (22) ἅπαν ὑπεξιέναι DQ/ ἅπαν τὸ πλῆθος C/ τὸ πλήθη R (23) ἰσχυρότεροι R, ἰσχυροτάτοις CDQ (24) post θανατηφόροις add. C καὶ οἱ μὲν ἄλλοι ἔφυγον/ ἐξ αὐτῶν δὲ τινὰς C/ περιποιήσασθαι γ, περισώσασθαι Q (26) διώρυχος D (27) καὶ τὴν αὐτῶν CQ, τὴν αὐτῶν δέ D/ ἐπιγινώσκων C/ post δίαιταν add. D καὶ τούτους ἐάσας D/ διεφθάρησαν D, ἐτελεύτησαν C

σαν. τῶν ἐκεῖσε οὖν διελθόντων δι' ἡμερῶν ἑξήκοντα τὴν οἰκουμένην κατέλαβον· καὶ δὴ ἀνεπαύσατο ἐκ τοῦ κόπου.

43

Ἔδοξεν οὖν τῷ Ἀλεξάνδρῳ ἐπιστολὴν γράψαι ἐν Μακεδονίᾳ Ὀλυμπιάδι τῇ μητρὶ αὐτοῦ καὶ Ἀριστοτέλει τῷ καθηγητῇ αὐτοῦ. τὰ δὲ ἐν τῇ ἐπιστολῇ γεγραμμένα τάδε ἦν·

Ἀλέξανδρος βασιλεὺς Ὀλυμπιάδι τῇ μητρί μου καὶ Ἀριστοτέλει τῷ καθηγητῇ χαίρειν· χρόνος δὴ παρῴχηκεν, ὦ μῆτερ ἐμή, τὰ περὶ ἡμῶν τῇ σῇ μὴ ἀναδιδαχθήσεται στοργῇ. ἐπὶ τούτῳ γινώσκω ἀδημονεῖν σε καὶ φροντίζειν ⟨περὶ⟩ ἡμᾶς ⟨καὶ⟩ ἀσθενεῖν τῇ ψυχῇ· καὶ πλείστοις λογισμοῖς ὥσπερ χειμαζομένην ναῦν καταβαπτίζεσθαι τῇ λύπῃ· συνεῖναι δ' ἡμῖν κἂν ταῖς νυξὶν καὶ τὰ περὶ ἐμοῦ ἐρωτᾶν. πολλάκις δὲ καὶ δυστυχοῦντά με ὁ ὄνειρος παραδείκνυσι· οἶδά σε τοιγαροῦν ποτὲ μὲν τῇ δυστυχίᾳ θλιβομένην τῷ ὀνείρῳ, διεργεθεῖσαν χαρῆναι μὲν τῷ τοῦ ψεύδους φαντάσματι, λυπηθῆναι δὲ τῷ τῆς ἀποδημίας στερήματι· τῷ αὐτῷ δὲ καὶ ἐπὶ τοῦ ἐναντίου ἐν τῷ ὀνείρῳ συνοῦσα χαίρεσθαι ὅσης εὐτυχίας καὶ θεωρίας τοῦ υἱοῦ ἐμπιπλαμένη, τοῦ δὲ ὀνείρου ἀναστᾶσα οὐ μετρίως λελύπησαι ἐν τῇ τοιαύτῃ οὖσα χαρᾷ τοῦ ὀνείρου· ἐπίσταμαι γὰρ στοργὴν μητρὸς εἰς ἀποδημοῦντα υἱόν. ταῦτα δὲ καὶ ἐμοὶ πολλάκις ἐμφαίνεται· ἐξ ἐμαυτοῦ γὰρ καὶ τὰ σὰ ἐπίσταμαι, μῆτερ ἐμή. ἐν τούτοις δὲ πᾶσιν ἵλεως ἔσο μοι τοῖς ἀγνοήμασιν· καὶ τὰ ἐμοὶ συμβεβηκότα διὰ τῆσδέ μου ἀνάγνωθι τῆς ἐπιστολῆς.

καθὼς γὰρ πρώην σοι ἀνεδίδαξα τὰ περὶ Δαρείου ὡς αὐτὸν τρισὶ συμβολαῖς ἡττήσαμεν, μετὰ δὲ τὸ ἡττηθῆναι αὐτὸν ἐγκρατὴς γενό-

(1) τῶν ἐκεῖσε RC, τὰ ἐκεῖσε Q, ἐκεῖθεν D/ διελθόντες CDQ

(2) καὶ δὴ ἐπανεπαύσατο τοῦ κόπου C, κἀκεῖσε μικρὸν ἐκ τοῦ κόπου ἀνεπαύσαντο ἀπὸ τοῦ πολλοῦ κόπου καὶ μόχθου D

(3) καὶ τότε οὖν ἔδοξε C (5) τάδε ἦσαν C, εἶχον οὕτως D (6) βασιλεὺς καὶ ἐθνῶν πάντων κύριος D

(7) ἤδη CDQ/ παρῳχήκει πολύς C, ἐμῇ, πολύς D/ possis ἐξ οὗ τὰ περὶ ἡμῶν --- ἀνεδιδάχθη

(8) στογῇ R/ ἀναδιδαχθήσεσθαι στοργῇ C, καὶ τὰ περὶ ἡμῶν τῇ σῇ στοργῇ οὐκ ἀνεδιδάχθησαν· τοιγαροῦν γινώσκω D

(9) περὶ om. RDQ, περὶ ἐμοῦ C/ καὶ ante ἀσθενεῖν C, om. RDQ/ ἀσθενεῖν D, ἀσθενεεῖν R, ἀσθενεῖν σε C

(10) καὶ πλείστοις D, πλείστοις δὲ(om. C) RC/ χειμαζομένην – 11 λύπῃ D, χειμαζομένην ναῦς(omisso καταβαπτίζεσθαι τῇ λύπῃ) RC (11) συνεῖναι – νυξίν D, καὶ ταῖς νυξὶν συνεῖναι R/ συνιέναι C/ καὶ τὰ DC, κατά R

(12) δέ σοι D/ παραδείκνυσι ὁ ὄνειρος D (14) ἐν τῷ ὀνείρῳ C, om. D/ διεργεθεῖσαν δὲ ἐξ αὐτοῦ χαρῆναι τῷ C, τοῦ ὕπνου δὲ διεργεθεῖσαν χαρῆναι μὲν τῷ D/ φαντάσματι, λυπηθῆναι δὲ καὶ C (16) ἐναντίου πάσχειν D/ συνοῦσαν χαίρεσθαι D/ χαίρειν C/ ὅσης – 17 ἐμπιπλαμένη om. D

(17) τοῦ ὀνείρου δὲ D/ ἀναστάσας C, ἀναστᾶσαν D

(18) λυπεῖσθαι D/ ἐν τῇ – ὀνείρου om. D/ ἐν τῇ αὐτῇ C/ ἐπίσταμαι γάρ σε D (19) υἱὸν ἔχειν D

(21) πᾶσι τοῖς ἀγνοήμασιν ἵλεως ἔσο μου D (22) ἀνάγνωθι RCQ, μάνθανε D (24) οἶδας ὡς πρώην σοι τὰ περὶ Δαρείου διηγησάμην διὰ γραφῆς, ὡς αὐτόν D/ τρεῖς R

(25) συμβολαῖς ἡττήσαμεν τρισί C

μενος πάσης Περσίδος τὴν ἑαυτοῦ θυγατέραν, ὡς προέφην, γυναῖκα εἰλόμην καὶ ὁμόνοιαν Πέρσαις καὶ Μακεδόσιν ἐκ τούτου πεποίηκα τοῦ δράματος· οὓς δὲ πάντας ἀναλαβόμενος τὴν κατ' Αἴγυπτον ἐποιησάμην ὁδόν· καὶ δὴ χώρας πλείστας καὶ πόλεις ὑποτάξας τὴν 'Ιουδαίαν πάρειμι γῆν· οἵτινες οἱ ἐκεῖσε ζῶντι θεῷ ἔδοξαν λατρεύειν, ὃς ἐμοὶ ἀγαθὴν ἐποίησεν ἔχειν γνώμην καὶ ὅλη μου ἡ φυχὴ πρὸς αὐτὸν ἦν· τούτους δὲ ἐχαρισάμην τά τε δῶρα καὶ τοὺς ἐτησίους φόρους, οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν Περσικῶν λαφύρων πλεῖστα τούτοις ἐδωρησάμην. παρ' αὐτῶν δὲ βασιλεὺς κοσμοκράτωρ ἀνηγορεύθην· καὶ διελθὼν τὴν αὐτῶν χώραν δι' ἡμερῶν ἱκανῶν τὴν Αἰγυπτίαν κατέλαβον γῆν, ἐν ᾗ διατρίφας καιρὸν ὀλίγον πᾶσά μοι ἡ χώρα ὑπετάγη. εἰσελθὼν δὲ τὴν αὐτῶν πόλιν, βασιλέα με καὶ αὐτοὶ ἀνηγόρευσαν κοσμοκράτορα καὶ νέον ἄλλον ὀδεῖνα (ὁ νοῶν νοείτω), διὰ δὲ τὸν χρησμὸν αὐτῶν πόλιν ἐμαυτοῦ τὴν Αἴγυπτον ὠνόμασα· ταύτην ἐκ βάθρων οἰκοδομήσας παμποικίλοις κίοσιν καὶ ἀνδριάσιν κατακοσμήσας. ἐκεῖσε πάντας τοὺς θεοὺς ἐξουθένισα ὡς οὐκ ὄντας θεούς, τὸν δὲ ἐπὶ τῶν Σεραφὶμ θεὸν ἀνεκήρυξα. στήλην δὲ ἐμὴν καὶ φίλων ἐμῶν ἐν αὐτῇ ἵδρυσα τῇ πόλει, (ἤγουν Σελεύκου, Φιλίππου καὶ 'Αντιόχου) ταῦτα οὖν ποιήσας ἔδοξέν μοι ἄκραν γῆς καταλαβεῖν· καὶ τὸ ἐννόημα ἔργον ἦν. ἐπὰν δὲ τὴν ὑφήλιον οἰκουμένην διῆλθον, εἰς τόπους δυσβάτους καὶ ἀγρίους κατηντήσαμεν· ὅμως τούτους διήλθομεν δι' ἡμερῶν τετταράκοντα. ὡς οὖν διήλθομεν τοὺς δυσβάτους ἐκείνους τόπους, εἰς πεδίον κατηντήσαμεν πάνυ λεῖον· ἐν αὐτῷ δὲ ἀγρίους ἀνθρώπους εὕρομεν, τούτους δὲ ἐτροπώσαμεν. καὶ ἐνδότερον εἰσελθόντες τὰς 'Ηρακλέους εὕρομεν στήλας καὶ τὰ μέλαθρα Σεμιράμεως· ἐκεῖσε δὲ ἀναπαυσάμενοι ἡμέρας τινὰς

(1) ἐγὼ τὴν τοῦ Δαρείου θυγατέρα γυναῖκα ὡς προεῖπον εἰλόμην D (3) 3- 1o: c.24 / τοὺς δὲ CDQ (5) εἰς τὴν 'Ιουδαίαν ἔφθασα γῆν, ἐν ᾗ κατοικοῦσιν ἄνδρες θεῷ ζῶντι λατρεύοντες, ὃς ἀγαθήν με πρὸς αὐτοὺς ἔχειν γνώμην πεποίηκεν D/ παρήμην C (6) ὃς ἐμοὶ ἐποίησε πρὸς αὐτοὺς ἀγαθὴν ἔχειν γνώμην C (7) πρὸς αὐτόν ἐστιν D/ ἐχαρισάμην δὲ τούτοις D (8) τῶν ἐκ R (9) καὶ βασιλεύς D (1o) καὶ δὴ τὴν αὐτῶν χώραν διελθὼν τὴν τῶν Αἰγυπτίων κατέλαβον γῆν D (11) 11 - 19: c. 25 - 29/ Αἰγυπτίων C/ διατρίψαντός μου D (12) ὑπετάγην R, ὑπετάγη ἡ χώρα D/ εἰσελθόντος δέ μου καὶ εἰς τὴν D (13) κοσμοκράτορα ἀνηγόρευσαν C/ καὶ νέον - 14 νοείτω om. C (14) ὁ δεῖνα : deb. Νεκτεναβῶ / ad vocem χρησμόν explanandi gratia adscripta verba ὁ νοῶν νοείτω postea in textum irrepserunt/ διὰ δέ γε D (15) καὶ ταύτην D/ οἰκοδομήσας καὶ D (16) καταμήσας αὐτήν C/ κἀκεῖσε C (17) δέ om. R (18) ὅθεν καὶ στήλην ἐμὴν D, malim ἐμοῦ/ καὶ τῶν ἐμῶν φίλων C/ ἐν αὐτῇ om. D (19) ἐνίδρυσα D (2o) ποιήσας αὐτὸς ἔδοξέ μοι γῆς ἄκρα D, ἔδοξεν ἐμοὶ τὴν ἄκραν τῆς γῆς C (21) διήλθομεν D (22) post κατηντήσαμεν perg. C ὡς οὖν τοὺς δυσβάτους ἐκείνους τόπους διήλθομεν (23) post τετταράκοντα perg. D εἶθ' οὕτως εἰς πεδίον κατηντήσαμεν (25) ἀνθρώπους ἀγρίους D/ 25 - 324, 11: c. 34, 35, 36. τούτους δὲ κατὰ κράτος τροπωσάμενοι D, τούτους ἐτροπώσαμεν· ὡς δὲ ἐνδότερον C (26) 'Ηρακλέους D, 'Ηρακλέου R, 'Ηρακλέως C (27) Σεμιράμιδος D/ καὶ ἐκεῖ C

διελθόντες εὕρομεν ἀνθρώπους ἑξάχειρας καὶ ἑπτάποδας, οὓς τροπωσάμενοι τῶν ἐνδοτέρων διήλθομεν, καὶ κατελάβομεν τόπον παράλιον. ἐκεῖσε οὖν ἀναπαυσάμενοι βουληθέντες, καρκίνος θαλάσσιος ἐκδὺς ἵππον νεκρὸν ἀναλαβόμενος τῇ θαλάσσῃ εἰσέδυ· ἐπέστησαν δὲ ἡμῖν πλῆθος ἐναλίων θηρίων, ὡς μὴ ἐξικάνειν ἡμᾶς ἑνὸς καρκίνου περιγενέσθαι· πυρὸς δὲ φλόγα ἀνάψαντες τῶν ἐκεῖσε διασωζόμεθα. ἐκεῖθεν οὖν διελθόντες ἕτερον κατελάβομεν τόπον, καὶ αὐτὸς παράλιος ἦν· νῆσος δέ μοι ἐφαίνετο κατὰ θάλασσαν. ναῦν δὲ κατασκευάσας τῇ νήσῳ εἰσῆλθον· κακεῖσε εὗρον ἀνθρώπους ὁμοίους τῇ ἡμῶν διαλέκτῳ, σοφοὺς μέν, γυμνοὺς δὲ πάντας ὡς ἐκ κοιλίας μητρός. τούτους δὲ διελθόντες εὕρομεν ἀνθρώπους κυνοκεφάλους· μόλις δὲ καὶ τούτους τροπωσάμενοι κατελάβομεν ἐν πεδίῳ παμμεγέθει. κατὰ μέσον δὲ τῆς πεδιάδος φάραγξ ἐστήρικτο, τὸ βάθος ταύτης ἀνείκαστον· αὐτὴν δὲ γεφυρώσας ἀψῖδι καὶ περάσαντες πανστρατὶ διῆλθον ἐκεῖθεν. ἔκτοτε δὲ οὐκέτι εἴχομεν τὸ τῆς ἡμέρας φῶς, ὡς ἔθος ἦν· ἐκπεράσαντες δὲ ἡμέρας τινὰς κατελάβομεν ἐν τῇ παννυχίῳ γῇ, ἔνθα ἐστὶ τῶν Μακάρων χώρα. καταλαβόντα δὲ πρός με δύο ὄρνεα ἀνθρωπόμορφα ἱπτάμενα συνεβούλευσάν μοι· " οὐκ ἔξεστίν σοι, 'Αλέξανδρε, τῶν ὧδε ἔρχεσθαι." ἐκεῖθεν ὑποστρέψαντες τοῖς πᾶσιν παρεκελευσάμην μετὰ χεῖρας λαβεῖν τινα τῶν ἐκεῖ· ὀλίγοι δὲ τὸ προσταχθὲν ἐξετέλεσαν. ὁπηνίκα οὖν τῷ φωτὶ κατέλαβον, ἅπαντες μετενόησαν οἵ τε ἄραντες καὶ οἱ μὴ ἄραντες. καὶ δὴ τῶν ἐκεῖθεν ἐξήλθομεν δεξιοῖς μέρεσιν τὴν ὑποστροφὴν ποιούμενοι. διελθόντες δὲ ἡμέρας τινὰς τοὺς ἱπποκενταύρους ἐπολεμίσαμεν. καὶ τούτους τροπωσάμενοι δι' ἡμερῶν ἑξήκοντα τὴν οἰκουμένην κατελάβομεν πολλοὺς κινδύνους διελθόντες. τανῦν δὲ Πῶρον τὸν

(1) εἶθ' οὕτως διελθόντες D/ ἐξάποδας CQ/ οὓς καὶ C (2) τροπωσάμενοι ἐνδότερον ἐχωρήσαμεν D (3) ἔνθα διαναπαυθῆναι βουληθέντων ἡμῶν D/ βουληθέντες om.C (4) ἐκβάς C/ τὴν θάλασσαν C/ ἵππον νεκρὸν ἥρπασε καὶ τῇ θαλάσσῃ εἰσέδυ· κἀντεῦθεν ἐπέστησαν D (5) ἐξικάνειν RQ ἱκανοὺς εἶναι D, ἱκανοὺς C (6) φλόγας D (7) διεσώθημεν CD/ ἐκεῖθεν διεσώθημεν καὶ τόπον κατελάβομεν ἕτερον καὶ αὐτὸς D (8) καὶ νῆσος ἐφαίνετο C (9) τὴν θάλασσαν CDQ/ ναῦ δὲ RQ, εἰς ἣν ναῦν D/ τὴν νῆσον CQ,om. D (10) ἡμετέρα D (11) μητρὸς γεννηθέντας D, μητρὸς αὐτῶν· καὶ δὴ τῶν ἐκεῖθεν ἐξελθόντες καὶ διελθόντες ἡμέρας τινὰς εὕρομεν ἀνθρώπους ἐξάποδας καὶ τριοφθάλμους καὶ τούτους διελθόντες εὕρομεν ἀνθρώπους κυνοκεφάλους C/ 11-24: c. 37-42. (12) τροπωσάμενοι RDQ, διεκφυγόντες C (13) post παμμεγέθει perg.DC ἐν ᾧ φάραγξ ἦν,τῷ βάθει ἀνείκαστος,ἥντινα (καὶ αὐτὴν C) γεφυρώσας ἀψῖδι πανστρατὶ διῆλθον (διήλθομεν C) (15) ἀψίδων R (16) καὶ ὡς ἔθος ἦν ἐμπερικατήσαντες ἡμέρας C/ οὐκέτι τὸ τῆς ἡμέρας φῶς εἴχομεν· ἐμπερικατήσαντες δὲ τὴν παννύχιον κατελάβομεν γῆν,ἔνθα ἡ τῶν Μακάρων πέφυκε χώρα,ἐν ᾗ δύο ὄρνεα D (17) ἡ τῶν C (19) ἱπτάμενα,πρὸς μὲ ἐλθόντα D/ συνεβουλεύσαντο C/ συνεβούλευσάν μοι,μὴ πρόσω χωρεῖν. ἐκεῖθεν D (20) διέρχεσθαι C/ ἐκεῖθεν οὖν CD (21) ἀνὰ χεῖρας D/ τι τῶν DQ/ ἐκεῖσε CD (22) κατελάβομεν C/ ὁπηνίκα δὲ τὸ φῶς κατελάβομεν ἀπαξάπαντες D (23) οἵ τε ἅραντες καὶ om. C/ ἐκεῖθεν οὖν D (24) τὴν ἐπιστροφὴν ποιούμενοι τὴν ἀθάνατον πηγὴν κατελάβομεν Q/ καὶ διελθόντες τόπους τινὰς τοὺς ἱπποκενταύρους D

(27) πολλοὺς ὑποστάντες κιν..... τανῦν D/ πρὸς Πῶρον CDQ

τῶν Ἰνδῶν βασιλέα εὐτρεπιζόμεθα πολεμῆσαι καὶ ὅσα περὶ ἡμῶν ἡ θεία εὐοδώσειεν πρόνοια. τὴν δὲ ἀπογραφὴν τῶν θεαθέντων πραγμάτων ἔνδον εὑρήσητε τῆς ἐπιστολῆς, ἧπερ ἐντυχόντες τὰ καθ' ἡμᾶς τρανότερόν πως ἀναδιδαχθήσεσθε. ἔρρωσο μήτηρ σὺν τῷ καθηγητῇ μου ὑπὲρ ἡμῶν τὸ θεῖον ἐξιλεούμενοι.

44

ἐκεῖσε οὖν διατρίψας ἡμέρας πέντε ἀνεζωπυρήθη ἅπαν τὸ στράτευμα. ἀπάρας οὖν τῶν ἐκεῖ ὥρμησεν κατὰ Ἰνδῶν· καὶ δὴ τὴν Ἡλίου καταλαβόμενος χώραν εἰσελθὼν ἐν τῇ πόλει. ἱερὸν ἐλέγετο ἐκεῖσε τοῦ Ἡλίου εἶναι καὶ ἱερά τινα δένδρα, ἐκεῖσε δὲ Ἀπόλλωνα χρησμοὺς ἀποτελεῖν. ἐλθὼν δὲ Ἀλέξανδρος ἐν αὐτοῖς ἐκαθέσθη· καὶ δὴ φωνῆς μὲν ἤκουεν, ἑώρα δὲ οὐδενός. ἡ δὲ φωνὴ χρησμὸς ἦν, ὁ δὲ χρησμὸς τὸν Ἀλεξάνδρου ὑπέφηνε θάνατον. περίλυπος οὖν γενόμενος Ἀλέξανδρος καὶ ἐξελθὼν τῶν ἐκεῖσε, ἔρημόν τινα κατέλαβεν τόπον. καὶ τῆς φάλαγγος παρεκτανθείσης ἐκ τῶν παραφυομένων θάμνων ἀνθρωπίδια ἀνίστανται· καὶ αὐτοῖς ἀνὰ εἷς ποὺς ὑπῆρχεν δίκην προβάτου, τὰς δὲ χεῖρας αὐτῶν καὶ τὴν κεφαλὴν καὶ τὸν ἕνα ἐκεῖνον ποῦν ὁμοίως εἶχον ἀνθρώποις. ὡς δὲ ἐξανίσταντο, κοῦφοι λίαν ὑπῆρχον τοῖς πηδήμασιν. καταδραμόντες δὲ ἐπ' αὐτοὺς περιεγένετο καὶ μόλις ὀλίγους πιάσαντες πρὸς Ἀλέξανδρον ἤγαγον. κελεύει οὖν Ἀλέξανδρος πλησιεστέρους αὐτοὺς ἐνεχθῆναι. ἐπειδὴ δὲ πλησίον αὐτοῦ ἔστησαν, λόγοις ἐλεεινοῖς παρεκάλουν· "ἐλέησον, δέσποτα, τοὺς ὁμοίους σοι ἀνθρώπους· καὶ γὰρ διὰ τὴν ἀδράνειαν ἡμῶν τῇ ἐρήμῳ ταύτῃ κατῳκήσαμεν." ἐπὶ τούτῳ Ἀλέξανδρος ἐπικάμπτεται καὶ κελεύει αὐτοῖς ἀπολυθῆναι. τῶν δὲ ἀπολυθέντων εἰς

(1) εὐτρεπιζόμεθα ἀπελθεῖν καὶ αὐτῷ συνάψαι πόλεμον· τῇ προνοίᾳ οὖν μελήσει περὶ ἡμῶν· πλὴν τὴν ἀπογραφὴν D

(2) πρόνοια, ταῦτα γενέσθω C (3) ἥνπερ C, ἅπερ R

(4) τὰ – πως D, τὰ ἡμῶν καθόν πως R, τὰ ἡμῶν καθ' ὅπως C, τὰ ἡμῶν κατ' ἔτος Q/ ἀναδειχθήσεσθε R

(5) ἐξιλεούμενοι ἀδιαλείπτως καὶ ἀκαταπαύστως D/ post ἐξιλεούμενοι add. C ταύτην οὖν τὴν ἐπιστολὴν γράψας 'Αλέξανδρος ἀπέστειλε τῇ μητρὶ αὐτοῦ (6) διατρίψας 'Αλέξανδρος C/ ἐκεῖθεν τοιγαροῦν ἀπάρας καὶ πέντε ἡμέρας διατρίψας ἅπαν ἀνεζωπύρησε· κἀντεῦθεν ὥρμησε D/ πᾶν τὸ στρατόπεδον καὶ ἀπάρας τῶν ἐκεῖ C (8) καταλαβὼν D/ καὶ εἰσελθὼν ἐν αὐτῇ ἱερὸν ἐκεῖσε τοῦ ἡλίου ἤκουσεν εἶναι D/ εἰσῆλθεν C/ ἱερὸν δὲ ἐλέγετο αὕτη τοῦ ἡλίου C

(9) δένδρα ἦσαν C (10) τὸν 'Απόλλωνα CD/ δέ om. D

(11) δή D/ ἐ... ....δένα D (13) ὁ 'Αλέξανδρος καὶ ἐλθὼν C / in cod. D nunc usque ad initium libri tertii folia desunt.

(15) ἀνθρωπάρια C/ ἀνίσταντο CQ (16) αὐτοῖς ἦν C

(17) αὐτῶν C/ ποῦν RQ, πόδα C (19) περιεγένοντο C

(20) post πιάσαντες perg. Q οι δὲ σὺν ημῖν ἐκ τῶν πλησίων ὄντες τούτους ἤσθιον. κελεύει οὖν 'Αλέξανδρος ζῶντας αὐτῷ ἐνεχθῆναι· ἐπεὶ δὲ πλησίον αὐτοῦ ἔστησαν κτλ.

(21) possis πλήσ ιιτέρους / ἐπεὶ C

(22) αὐτὸν παρε.άλουν C/ δέσποτα ἔλεγον C

(23) ὁμοίους σοι C (24) ἐπὶ τούτοις CQ

(25) οἱ δὲ ἀπολυθέντες καὶ εἰς ἀκρώρειαν ἀνελθόντες C

ἀκρώρειαν ἐλθόντες πετρῶν μήκοθεν ἤρξαντο καταγελᾶν 'Αλεξάνδρῳ λέγοντες καὶ "ὦ τῆς ἀνοίας σου" καὶ "ὦ τῆς ἀπειρίας σου" καὶ "οἷον ἐξελύσαμεν· οὐκ εἶ συ ἄξιος ἡμῶν γεύσασθαι κρίσει. οἱ γὰρ φρενῶν καθὼς καὶ ὑμεῖς λειπόμενοι ἡμῶν περιγενέσθαι οὐ δύνανται." ταῦτα λέγοντες ὀρχούμενοι καὶ πηδῶντες 'Αλεξάνδρου κατέπαιζον. αὐτὸς δὲ ἀκούων αὐτοὺς καὶ θεωρῶν τὸ σκυθρωπὸν ἐνηλλάττετο καὶ γελοιᾶν ἐγκεχείριστο· ἀφ' οὗ δὲ τὸν χρησμὸν ἦν λαβών, οὐδέπω αὐτὸν γελάσαντα εἴδομεν μέχρι τῆς αὐτῆς ὥρας· καὶ γὰρ γέλωτος ἄξια ἦν τὰ λεγόμενα.

(1) Ἀλεξάνδρου CQ (2) καὶ om. C (3) καὶ οἷον ἐξελύσαμεν om. C, possis ἐξεδύσαμεν, καὶ δι' ὃν ἐξελύσαμεν· γλυκία τροφὴ ἡμεῖς, ἀλλ' οὐκ εἶ συ ἄξιος ἡμῶν γεύσασθαι κραίη (i.e. κρέα)· οἱ γὰρ φρενῶν κτλ. Q| κρίσεως C (5) καὶ pon. ante ὀρχούμενοι C (6) αὐτοὺς om. C (7) ἐνηλάττετο RQ, ἐνήλατο C | ἀφ' οὗ γὰρ C.